μένος. Verū in μένος omnia antepenacuuntur, præterquā in præterito perfecto penacuta enim ſunt, & breui ultima. In *εις.* εις uero acuuntur, & ſcribuntur per longā ει. præter id quod ab habente υ fit. iungo, iungens, in productā quidem & hoc finit. *Actiuorum participia.* Vniuerſaliter ſanè actiuorum participia quæ generis ſunt maſculini, longam habent ultimā. uerberans, qui uerberauit, qui uerberauit, qui uerberauit. Item quod flectitur ſic per genus, hic uerberās, hæc uerberās, hoc uerberās, in eadē ſeruat tonū, & definit in breuē fœmininū, penultimā tamen habet longā, præter id quod in μένη definit Nam contra uerberata etiā penultima lōga proprijs maſculinis reſpondet, ſiquidem aut per eandem longam α, aut per ου, aut per ει penultimā, niſi quod eſt præteritum, hoc enim per υι, quæ uerberauit. quod in α purū fœminina diphthongo penultima, quæ diphthongū ex υι faciūt penultima. Manifeſtum autē, quod neutrū ſemper in breuē definit. nanque aut in ον antepenacute, ut uapulans. aut in ον, & in ων à genitiuo maſculini acute. Nō cōtracta aūt, neque ultimā habens longā antepenacuitur dictio. Cæterū omne participiū corripitur in genitiuo. At ſtans per ſynæreſin dictū eſt, à ſtans. *Genitiui participiorum.*

ΤΟΝΟΣ ΚΑΙ ΧΡΟΝΟΣ ΑΡΘΡΟΥ.

Ἄρθρον δὲ τὸ μὲν ἀρσενικὸν, καὶ οὐδέτερον κλίνεται ἐπὶ τὰ τῶν ὀνομάτων τριτόκλιτα, κἀκείνοις ὁμοίως ἔχει τὸν χρόνον. ἐπὶ μὲν γὰρ εὐθείας, καὶ αἰτιατικῆς βραχύ. ἐπὶ δὲ γενικῆς, καὶ δοτικῆς μακρόν. ὃς, οὗ, ᾧ, ὅν, κἀπὶ τῶν ἄλλων δὲ ὁμοίως ταῖς ἐκείνων καταλήξεσιν ἔχει. Διὸ καὶ λέγεται, ὅτι καθόλου τὰ ἄρθρα τῆς δοτικῆς τῶν ἑνικῶν, καὶ τῆς εὐθείας τῶν

δυϊκῶν

δοτικῶν, καὶ τῆς γενικῆς τῶν πληθυντικῶν μακροκαταληκτεῖ. αἱ μέντοι γε εὐθεῖαι, καὶ αἰτιατικαὶ τῶν προτακτικῶν οὐκ ὀξύνονται, ὡς τὰ ὀνόματα. ἀλλὰ βαρύνονται, ὡς αἱ προθέσεις, καὶ τινὲς τῶν συνδέσμων. Τὸ δὲ θηλυκὸν τοῖς δευτεροκλίτοις ἕπεται, καὶ τὰ μὲν προτακτικὰ ἢ πνεύματα, ἢ τόνους ἐπιδέχεται. τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα, καὶ τόνους. Πᾶν μὲν οὖν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τὸ δὲ τῆς κλητικῆς ὦ οὐκ ἄρθρον. διὸ καὶ οὐδὲν ἄτοπον, εἰ ψιλοῦται.

TONVS ET TEMPVS ARTICVLI.

Articulus maſculinus quidem, & neuter reducitur ad nomina tertiæ declinationis, atq; illis ſimile habet tempus in recto quidem, & accuſatiuo breue, in genitiuo autē, & datiuo longum. qui, cuius, cui, quem. atq; in alijs ſimiliter habet, quæ ijſdem cum illis ſunt terminationibus. Quamobrem dicitur quod generaliter articuli datiui ſingularium, & nominatiui pluralium ultimā producunt. Nominatiui autem, & accuſatiui præpoſitiuorum non acuuntur ut nomina, ſed grauantur ut præpoſitiones, & nōnullæ coniunctionum. Fœmininus uero nomina ſecundæ ſequitur. Et præpoſitiui quidem uel ſpiritus, uel tonos ſuſcipiunt. ſubiunctiui autem & ſpiritus, & tonos ſuſcipiunt. Omnis enim articulus à uocali incipiens aſpiratur, porrò ὦ uocandi eſt non articulus. quare non abſurdum, ſi tenui notetur. *Aſpiratur.*

ΤΟΝΟΣ ΚΑΙ ΧΡΟΝΟΣ ΑΝΤΩΝΥΜΙΑΣ Α ΠΡΟΣΩΠΟΥ.

Ἀντωνυμιῶν δὲ ἡ μὲν πρωτότυπος ἐπὶ τοῦ πρώτου προσώπου εὐθυλογουμένη τὸ ἑνικὸν μακροκαταληκτεῖ, καὶ ὀξύνεται, ἐπὶ γενικῆς δὲ περισπᾶται. Καὶ ἐπὶ δοτικῆς δὲ ὀξύνεται, καὶ μακρογραφεῖται τὸ οι, ἐμοί. ἐπὶ δὲ αἰτιατικῆς βραχυκαταληκτεῖ, καὶ ὀξύνεται. Χρὴ δ᾽ ἄρα τὸ ἐντελὲς ἐννοεῖν, ὡς τό γε ἀρκτικὸν ἀποβάλλουσα φωνῆεν ἐγκλίνεται ὧδε, ἤκουσάς μου, ἔδωκάς μοι, εὔφρανάς με.

TONVS ET TEMPVS PRONOMINIS PRIMAE PERSONAE.

PRonominum aũt primitiuum quidem in prima perſona nominatiue prolatum, & ſingulariter, in longã deſinit, acuiturq́;, in genitiuo uero anflectitur. Rurſum in datiuo acuitur, & producte ſcribitur per οι mihi. In accuſatiuo autem breui finit, atq; acuitur. Oportet aũt perfecte ſanè intelligere, quod initialem abijciens uocalem, inclinatur ſic. audiuiſti me, dediſti mihi, delectaſti me.

Ἐγκλινόμενα.

Καθόλου γάρ τοι τὰ ἐγκλινόμενα ἀποβάλλοντα τὸν ἑαυτῶν τόνον, ἐφέλκεται ὑπὸ τοῦ κατὰ τὴν ἡγουμένην λέξιν, εἴτε μονοσύλλαβα εἴη, εἴτε δισύλλαβα. τὸ δὲ καὶ μοί τις οὐ δισύλλαβόν ἐστιν, ἀλλὰ μονοσύλλαβα δύο, ἀεὶ γὰρ μία μόνη λέξις ἐγκλίνεται. Δύο οὖν κἂν μονοσύλλαβα ὦσιν, οὐκ ἂν ὑφ᾽ ἑνὸς τόνου ἐγκλίνοιντο, ἀλλ᾽ ἡ μὲν προτέρα ὑπὸ τοῦ ὑπάρχοντος κατὰ τὸ ἡγούμενον, ἡ δὲ δευτέρα ὑφ᾽ ἑτέρου τῇ προτέρᾳ ἐπιτεθειμένου. Ὅλως μέντοι τὰ τῶν πρωτοτύπων ἑνικὰ ἐγκλίνεται, πλὴν τῶν εὐθειῶν. Τὰ δὲ πρωτοπροσώπου τὰ δυϊκὰ μακρᾷ μὲν παραλήγει, βραχείᾳ δὲ λήγει τῷ ι. νῶϊ, ἀπαθῆ ὄντα. Ἐπὶ τῶν πληθυντικοῦ κοινὸν μὲν ἁπασῶν τῶν πτώσεων τὸ ἀρχικὸν η, καὶ τὸ δασύνεσθαι. Βραχυκαταληκτεῖ δὲ ἡ μὲν εὐθεῖα εἰς ες, βραχεῖα ἔτι παραλήγουσα. Ἡ δὲ αἰτιατικὴ εὐλόγως εἰς ας, ὥστε τὰ πεμπτόκλιτα. Καὶ ἡ γενικὴ δὲ τοῖς ὀνόμασιν ὁμοίως εἰς ων. Ἡ δὲ δοτικὴ μακροκαταληκτεῖ τῷ ι, καὶ περισπᾶται. καί τοι καθόλου τὸ ι βραχὺ ὄν, ἢ οὐδ᾽ ἐνταῦθα ἀεὶ μακρόν. ὅθεν οὐδ᾽ ἀεὶ περισπώμενον, ἀλλὰ ἢ ὀξύτονον, ἢ παροξύτονον. οἷον δὴ καὶ τὸ Σοφοκλέους, ἀλλ᾽ ἧμιν Αἴας ποῦ ἐστίν; Κοινὰ δὲ τὰ ἐπὶ τῶν πληθυντικῶν ταῦτα καὶ τῆς δευτεροπροσώπου ἐστί, πλὴν ὅσον τὸ ἀρχικὸν οὐκ η, ἀλλὰ υ μακρόν. Τῶν δὲ ἑνικῶν ἡ μὲν εὐθεῖα τῷ υ βραχυγραφεῖται, καὶ ἐξ ἀνάγκης ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται. πᾶσα γὰρ γενικὴ μακροκατάληκτος ἐπὶ τῆς μακρᾶς τονιζομένη περισπᾶται. Ἡ δὲ δοτικὴ ὀξύνεται, καὶ μακρογραφεῖται ὁμοίως τῇ πρωτοπροσώπῳ. Ἔτι καὶ ἡ αἰτιατική, καὶ τὰ δυϊκά, ὡς ἐπὶ τῆς πρώτης.

τὰς

τῆς δὲ τρίτης ἡ μὲν τῆς ἑνικῆς εὐθείας διὰ βραχέος, * ἢ δ' ὅς. ἡ δοτικὴ δὲ τοῦ οἱ περισπωμένως. Καὶ ἡ αἰτιατικὴ διὰ βραχέος. τὰ δὲ δυϊκά, καὶ πληθυντικὰ τοῖς τῶν προτέρων ὁμοίως. πλὴν ὅτι ἡ τῶν πληθυντικῶν δοτικὴ βραχεῖα λήγει, ἐν τῇ παραλήγει. Καθόλου δὲ τὸ ἀποπίπτον ι τῶν αὐτωνυμιῶν βραχέος, καὶ τὰ μοναδικὰ δὲ τοῦ τρίτου. νίν, μίν βραχέος διὰ ι.

Inclinata.

Generaliter autem inclinata quæ abijciũt ſuum tonum, attrahuntur ab eo qui eſt in præcedenti dictione, ſiue monoſyllaba fuerint, ſiue diſyllaba. Illud autem mihi quis diſyllabũ nõ unum, ſed monoſyllaba duo, ſemper enim una ſola dictio inclinatur. duę igitur & ſi monoſyllabę ſint, nequaquã ab uno tono inclinantur, ſed prior quidem ab eo, qui eſt in priore præcedenti. ſecunda uero ab altero, qui poſt priorem ponitur. Omnino igitur primitiuorum ſingularia inclinantur, præter nominatiuos. Pronominis aũt primæ perſonæ dualia longam quidem penultimam habent, breui uero finiunt per ι. nos, non contracta. In plurali communis quidem eſt cunctis caſibus initialis η, & aſpiratio. Breui aũt definit rectus quidem in ες, breuem etiam habẽs penultimã. Verum accuſatiuus in ας cõuenit quinqu inflexis. Cæterum genitiuus nominibus in ων eſt ſimilis. Datiuus aũt longã habet ultimã per ι, atq; anflectitur, quãquam generaliter datiui ι ſit breuis, neq; hic ſemper lõga. unde neq; ſemper circũflectitur, ſed uel acuitur, uel penacuitur. ut ſanè & illud Sophoclis, ſed nobis Aiax ubi eſt? Cõmunia uero in pluralibus hæc & pronomini ſecundæ perſonæ ſunt, præterquã quod initialis nõ eſt η, ſed υ lõga. Singulariũ uero rectus quidem per υ breue ſcribitur, & neceſſario acuitur, genitiuus uero anflectitur. Omnis enim genitiuus in longã deſinens, atq; in longa habens tonum anflectitur. Datiuus uero acuitur, & per longam ſcribitur, ita ut datiuus primæ perſonæ. Itẽ & accuſatiuus, & dualia, ut in pronomine primæ, tertij uero ſingularis rectus finit breui. Datiuus aũt per οι circunflexe. Itẽ accuſatiuus breui.

Perſonæ dualium.

Pluralium.

Accuſatiuus.

Datiuus.

In Aiace Flagellifero.

Singularis nominatiuus.

Genitiuus.

Datiuus ſingularis.

Cæterum dualia, & pluralia dualibus & pluralibus priorum ſimilia, præterquam quod pluralium datiuus breui finit, & penultimat. Generaliter autem excidens ι à pronominibus breuis eſt, at ea quæ proprij ſunt iuris tertiæ. ipſum, ipſum, breui ι.

ΤΟΝΟΣ ΚΑΙ ΧΡΟΝΟΣ ΠΡΟΘΕΣΕΩΣ.

Πρόθεσις δὲ πᾶσα βαρύνεται, καὶ πᾶσα βραχυκαταληκτεῖ πλὴν τῆς εἰς, καὶ ἐξ, ἣ δὴ καὶ ἐκ λέγεται ἑπομένου συμφώνου, οἷον ἐκ Διός. Καὶ πᾶσα δὲ ψιλοῦται ἀπὸ φωνήεντος ἀρχομένη, πλὴν τῆς ὑπὸ, καὶ ὑπέρ. Τῶν μὲν δέ τε δισυλλάβων μετὰ τὰ ὀνόματα τιθεμένων ὁ τόνος ἀναβιβάζεται, ποιηταῖς μὲν πασῶν. Παρνασὸν κάτα, καὶ ἐμῶν μέτα. λογογράφοις δὲ τῆς περὶ μόνης, τούτων πέρι. Παροξύνεται δὲ, καὶ ὅτε ἀντὶ ῥημάτων κεῖνται, ὡς ἡ πάρα, ἀντὶ τοῦ πάρεσι. Δῆλον δὲ τὸ τὰς προθέσεις βαρύνεσθαι ἐκ τοῦ ἐπ' ἐμοί, εἰ γὰρ ὀξύνοιτο, μετεφέρετ' ἂν ἐπὶ τὸ ε ἡ ὀξεῖα. ὥσπερ κἀπὶ τοῦ ἕπτ', ἀτὰρ ὀγδοάτην.

TONVS ET TEMPVS PRAEPOSITIONIS.

In, ex. Præpoſitio uero omnis graui notatur, atque omnis finit breui, præter in, & ex, quæ ſanè & ex dicitur ſequẽte conſonante, ut è Ioue. Item omnis tenuatur à uocali incipiens, exceptis ſub, & ſuper. Præpoſitionum uero diſyllabarum poſt nomina poſitarum accentus retrahitur, apud Poëtas quidem omnium. ut Parnaſſum iuxta, & meis cum. apud Oratores uero de ſolius, ut his de. Penacuuntur autem, quãdo pro uerbis ponuntur, ut apud pro adeſt. Manifeſtum uero quòd præpoſitiones graui notantur ex hoc, in me. ſi enim acueretur, transferretur ſuper ε acutus, ut & in hoc, ſeptem, at octauam.

Exemplum ex Iliade Homeri lib. v.

ΤΟΝΟΣ ΚΑΙ ΧΡΟΝΟΣ ΕΠΙΡΡΗΜΑΤΟΣ.

Τὰ δὲ ἐπιρρήματα ἐπειδὴ ἀπὸ ὀνόματος, καὶ ῥήματος, καὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν ἐστὶ λαβεῖν τε, καὶ σχηματίσαι, καθάπερ γὰρ διὰ τῶν τόπων σχηματιστικῶν εἴρηται πρότερον, δῆλον ὅτι καὶ ὁμοίως ἐν ταῖς ἀρχαῖς ἔχει:

τὸν

τὸν χρόνον, καὶ τὸ πνεῦμα. οἷον τὸ δικαίως, ὡς τὸ δικαίων. καὶ τὸ πολλάκις, ὡς τὸ πολλά. Ἔνια μέντοι καὶ διαφέρειν οὐδὲν κωλύει, οἷον ἐπὶ μὲν τοῦ τρία, καὶ τριὰς τὸ ι βραχὺ, ἐπὶ δὲ τοῦ τρὶς μακρόν. μεταβλητικὸν γάρ ἐστιν οὗ ἡ παραγωγή, οἷον δὴ καὶ ἐπὶ τοῦ πνεύματος. τὸ μὲν γὰρ ἅμα δασύνεται, τὸ δὲ ἄμυδις ψιλοῦται. Σώζει μὲν οὖν ἔνια ἐπὶ τῆς αὐτῆς, οἷον τὰ καλούμενα μεσότητος. καλῶν, καλῶς. τιμίων, τιμίως. καὶ τὰ δοτικοφανῆ, καὶ τὰ γενικοφανῆ. κοινῇ, κοινῆ. ἴσης, ἐπίσης, καὶ ὅλως τὰ καλούμενα αὖ ὁμοιονόματα. Ἔτι τὰ εἰς θεν, ἄνω, ἄνωθεν. ποῦ, πόθεν. πόθεν μέντοι ὀξυτόνως διαφορᾶς χάριν τοῦ ἀορίστου. Περισπᾶται δὲ καὶ ὅσα διφθόγγῳ λήγει ἐχούσῃ τὸ υ ὑποτακτικόν, εὖ, ἀγχοῦ, ὁμοῦ. Πᾶσα γὰρ δίφθογγος τελικὴ εἰς υ λήγουσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, πλὴν τριῶν ἰδοὺ, ἰοὺ, οὐ ὀξυνομένων. Ἔτι μονοσύλλαβα τῶν πευστικῶν περισπᾶται, ποῦ, πῶς. Καὶ τὰ διὰ υ λήγοντα, νῦν, γρῦ. Μακρὸν γὰρ καὶ τὸ νῦν ἐπιρρηματικῶς, βραχὺ δὲ συνδεσμικῶς, ὅθεν τὸ τοίνυν. Ὀξυτόνως ἐστὶ καὶ τὸ εἰ, καὶ ναί. οἷς καὶ ἐπεκτεινομένοις τῷ θε, οἷον εἴθε. καὶ τῷ χι, ναίχι, οὐ τρέπεται εἰς περισπωμένην ἡ ὀξεῖα, καθόλου γὰρ τῶν ἀπτώτων αἱ ἐπεκτάσεις οὐ τρέπουσι τὴν ὀξεῖαν τάσιν. Τὸ δὲ ὄφελον προπαροξυτόνως, καὶ τὸ ἐπέκεινα, ὡς ἐκ τροχαίκοῦ σύνθετα.

TONVS ET TEMPVS ADVERBII.

Porrò aduerbia quandoquidem à nomine, & uerbo, & reliquis orationis partibus licet ſumere, & formare, quemadmodum in libro de locis formatiuis dictum eſt prius, manifeſtum eſt, quod ſimilia originibus ſuis habēt & tempus, & ſpiritum: nempe iuſte ut iuſtorum habet, & ſæpenumero ut multa. Nonnulla tamen etiam diuerſa eſſe nihil uetat, ut in his quidem tria, & ternio ι eſt breuis, in ter uero longa. eſt enim ubi uariet deductio, ueluti ſanè, & in ſpiritu. etenim hoc aduerbium ſimul aſpiratur, unà uero tenuatur. Seruant igitur nonnulla in eadem, ut quæ uocātur mediocritatis. pulchrorum, pulchre. honeſtorum, honeſte. & datiuis ſimilia, & genitiuis. com-

ἦν. muni, communiter. æqualis, æque. & omnino ea, quæ uocantur ſimilia nominibus. Præterea in θεν, ut ſupra, deſuper, ubi, unde, alicunde tamen acute differentiæ gratia indefiniti. Circunflectuntur uero & quæ diphthongo deſinunt habente υ ſubiunctiuum, bene, prope, ſimul. omnis

Diphthongus. enim diphthongus finalis in υ terminans, & in ſe ipſa habens tonum circunflectitur, præter tria ecce, heu, non acuta. Item monoſyllaba interrogatiua circunflectuntur, ubi, quomodo. Et per υ deſinentia, nunc, gry. longum enim & nunc aduerbialiter, breue uero coniunctionaliter, unde igitur. Acute autem & ſi, & næ. quibus ſi addatur θε, ut utinam. & χι, ut certe, non mutatur in circunflexum acutus. uniuerſaliter enim caſus non recipientium extenſiones, non uariant acutum tenorem. At uero utinam antepenacute, & ulterius, ut ex trochaico compoſita.

ΤΟΝΟΣ ΚΑΙ ΧΡΟΝΟΣ ΣΥΝΔΕΣΜΟΥ.

Τῶν δὲ συνδέσμων οἱ μὲν συμπλεκτικοὶ ὀξύνονται, πλὴν τοῦ ἤτοι, ἣ μέντοι γε ὀξεῖα συνεπομένη τρέπεται εἰς βαρεῖαν. παροξύνονται δὲ οἱ αἰτιολογικοί, τὸ δὲ καθ' ὅ, καὶ διὸ μέχρι δύω, καὶ βραχυκαταληκτοῦσι δὲ πλὴν τοῦ ὅπως. ὀξύνονται δὲ καὶ οἱ διαζευκτικοί, πλὴν τοῦ ἤτοι. Καὶ περισπᾶται μὲν ὁ ἆρα ἀπορηματικῶς, παροξύνεται δὲ συλλογιστικῶς. Τὸ δὲ ἢ διαζευκτικὸν μὲν ὄν, ἢ διασαφητικὸν ψιλοῦται, καὶ ὀξύνεται. Βεβαιωτικὸν δὲ ψιλοῦται, καὶ περισπᾶται. Τοπικὸν δὲ ὄν, ἢ ἀρθρικόν, ἢ ὁμοιωματικὸν δασύνεται, καὶ περισπᾶται. Καθόλου δὲ οἱ σύνδεσμοι πάντες ψιλοῦνται, πλὴν τῶν αἰτιολογικῶν. Ὀξύνονται δὲ καὶ οἱ παρασυναπτικοί, ἐπεί, ἐπειδὴ καὶ ἐπεκτεινόμενοι τῇ πρὸς [illegible] αὐτῆς φυλάττουσι τὴν ὀξεῖαν τάσιν, ἐπειδήπερ. Ὀξύνεται δὲ καὶ ὁ ἀλλά, καὶ ὁ ἀλλαμήν. εἰ μὴ ἴσως τὸ ἄλλα οὐκ ὀξύνεσθαι, ἀλλὰ βαρύνεσθαι λέγοι τις, ὡς καὶ τινας τῶν ἄλλων συνδέσμων. οὐ γὰρ σώζει τὸν τόνον μετατιθέμενον, οἷόν τι καὶ περὶ τῶν προθέσεων εἴρηται. Οἱ γε μὴν ἐναντιωματικοὶ παροξύνονται, ὅμως, ἔμπης. Οὕτω μὲν οὖν περὶ τόνου, καὶ χρόνου, καὶ μὲν δὴ καὶ πλείω ἄττα ἐνθυμηθέντας προσθεῖναι εὖ ἂν ἔχοι.

TONVS

TONVS ET TEMPVS CONIVNCTIONIS.

Coniunctionum uero copulatiuę quidem acuuntur, præter ſiue, acutus tamen cõſequens uertitur in grauem. Penacuuntur uero cauſales, quatenus autem, & ideo ſunt partes duę, & breuem habent ultimam, pręter quomodo. Acuuntur uero & diſiunctiuæ, præter ſiue. Circunflectitur quidem coniunctio ἆρα dubitatiue accepta, penacuitur uero collectiue. Vel autem diſiunctiua, aut declaratiua tenui notatur, atque acuitur. affirmatiua uero tenuatur, & circunflectitur. Cæterum localis, aut articularis, aut ſimilitudinaria aſpiratur, atq; anflectitur. Generaliter autem coniunctiones omnes tenuantur, præter cauſales. Acuuntur uero ſubcontinuatiuæ, quoniam, quandoquidem. atq; extenſæ cum περ in eadem ſeruant acutum tenorem, quandoquidem. Acuta autem & ſed, & atqui. niſi fortaſſe ſed nõ debet acui, ſed grauari dixerit quis, ut & quaſdam ex alijs coniunctionibus. nõ enim ſeruant accentum tranſpoſitum, qualiter & de præpoſitionibus dictum eſt. Sed aduerſatiuæ penacuuntur, tamen, attamen. Sic igitur de accentu, & tempore at ita, ut qui plura quędam memoria tenent, addere & ipſi recte poſſint.

Num. *Tenues.* *Acutiſona.*

ΠΕΡΙ ΠΝΕΥΜΑΤΟΣ.

Περὶ δὲ πνεύματος κοινῇ θεωρῶμεν ὧδε. Α. τὸ α πρὸ ἑαυτοῦ ψιλοῦται. ἔτι πρὸ τοῦ β, πλὴν ἐφ' ὧν τὸ ρ ἕπεται, ἁβρός. ὡσαύτως δὲ καὶ τὰ ἄλλα, πλὴν τοῦ στερητικοῦ. ἀβροτάζειν, ἄβρομος. ἔτι πρὸ τοῦ γ, πλὴν τοῦ ἁγνός, καὶ τῶν ἀπ' αὐτοῦ, ἅγιος. ἔτι πρὸ τοῦ δ, πλὴν τοῦ ἁδρός, καὶ Ἅδης. ἔτι πρὸ τοῦ ε, καὶ ζ, πλὴν τοῦ ἅζειν τὸ σέβειν. ἔτι πρὸ τοῦ η, καὶ θ, καὶ ι, καὶ κ, καὶ λ. πλὴν τοῦ ἅλλεσθαι, καὶ ἅλς, καὶ τῶν ἀπὸ τούτου. ἑπομένου μέν τοι συμφώνου τῆς πρώτης, ἢ τῆς δευτέρας, ἢ τῆς τρίτης συζυγίας ἀεὶ ψιλοῦται. ἀλφίος, ἀλκυών. ἔτι πρὸ τοῦ μ ψιλοῦται, πλὴν τοῦ ἅμα, καὶ τῶν ἀπ' αὐτοῦ. ἅμιλλα, ἅμα, ἁμαρτία. ἔτι πρὸ τοῦ ν ψιλοῦται, πλὴν τοῦ ἁνδάνω. ἔτι πρὸ τοῦ ξ,

καὶ ο, καὶ ω, καὶ π. πλὴν τοῦ ἅπας, ἁπλοῦς, ἅπτω. Ἔτι πρὸ τοῦ ρ, πλὴν τοῦ ἅρκυς. καὶ ἐφ' ὧν τὸ μ, ἢ τὸ π ἕπεται. ἅρμα, ἅρπυια. Ἔτι πρὸ τοῦ σ, πλὴν τοῦ ἅσσα σημαντικοῦ τοῦ ἅτινα. Ἔτι πρὸ τοῦ τ, πλὴν τοῦ ἅττα, ἅτερ. Ἔτι πρὸ τοῦ υ, καὶ φ, πλὴν τοῦ ἁφή. Ἔτι πρὸ τοῦ χ, καὶ ψ. πλὴν τῶν ἀπὸ τοῦ ἅπτω, ἁψίς, ἅψικορος. Καθόλου δὲ τὸ α στερητικὸν ὄν, ἢ ἐπιτατικὸν, ἢ μειωτικὸν, ἢ φαύλου, ἢ ὀλίγου, ἢ τοῦ ὁμοῦ, ἢ τοῦ ἴσου σημαντικὸν, ἢ καὶ πλεονάζον ψιλοῦται. ἄκλιτον, ἀχανὲς, ἀκόλουθον, ἄριθμον, ἀτάλαντον, ἀμαθὲς, ἄσταχυς. ἀθροιστικὸν δὲ δασύνεται ἀεὶ, ἐξαιρέσθω τῶν στερητικῶν, ἅλυσις, καὶ Ἅδης.

Ε. Τὸ ε πρὸ μὲν τοῦ α δασύνεται, πλὴν τοῦ ἔαρ, ἐὰν, καὶ ἐαδγύαι. πρὸ δὲ τοῦ β ψιλοῦται, εἰ μὴ τὸ δ, ἢ τὸ ρ ἕποιτο. ἕβδομος, Ἑβραῖος. Ἔτι πρὸ τοῦ γ, καὶ δ. πλὴν τοῦ ἕδος, ἕδρα, ἕδνα, ἑδεῖται, ὅθεν τὸ καθεδεῖται. Ἔτι πρὸ τοῦ ἑαυτοῦ, πλὴν τοῦ ἕερσα. Ἔτι πρὸ τοῦ ζ. πλὴν τοῦ ἕζω, ὅθεν τὸ καθέσομαι. πρὸ δὲ τοῦ κ δασύνεται, πλὴν τοῦ ἐκὼν, καὶ Ἐκνὸς ποταμός. πρὸ δὲ τοῦ θ ψιλοῦται, πλὴν τοῦ ἕθεν. πρὸ δὲ τοῦ κ δασύνεται, εἰ μὴ τῆς λέξεως ἐκπίπτει ὡς ὑπὲρ τοῦ ἐκεῖνος κεῖνος, καὶ πλὴν τοῦ ἐκ, καὶ τῶν ἐξ αὐτῆς. ἐξαιρέσθω καὶ τὸ ἑκυρός, καὶ ἐκεχειρία. Πρὸ δὲ τοῦ λ ψιλοῦται, πλὴν τοῦ Ἕλλην, ἕλος, ἕλιξ, ἕλμινς. Ἔτι πρὸ τοῦ μ, πλὴν τοῦ ἑμύς. Ἔτι πρὸ τοῦ ν, πλὴν τοῦ ἕνεκα, ἓν, καὶ ἑνοῦν. πρὸ δὲ τοῦ ξ δασύνεται, πλὴν τοῦ ἐξ, καὶ τῶν ἐκ ταύτης. Ἔτι πρὸ τοῦ ο, πλὴν τοῦ ἑόν, καὶ εἰ ἐκ κλίσεως. πρὸ δὲ τοῦ π ψιλοῦται, πλὴν τοῦ ἕπω, ἑπτά. Ἔτι πρὸ τοῦ ρ, εἰ μὴ τὸ δ, ἢ κ, ἢ μ, ἢ π, ἢ σ ἕπεται. ἕρδειν, ἕρκος, ἕρπειν, Ἑρμῆς, ἕρσα. Ἔτι πρὸ τοῦ σ, πλὴν τοῦ ἑστιῶ, ἕστηκα, ἑστία. Ἔτι πρὸ τοῦ τ, πλὴν τοῦ ἕτοιμος, ἕτερος, ἑταῖρος. Ἔτι πρὸ τοῦ υ, καὶ φ, πλὴν τοῦ ἑφθός. Ἔτι πρὸ τοῦ χ, πρὸ δὲ τοῦ ψ δασύνεται. Καὶ πρὸ τοῦ ω, πλὴν τοῦ ἕω, ὅθεν τὸ εἰμί, καὶ ἑῶ. Καθόλου δὲ τὸ ε ἐκ κλίσεων, εἴτ' οὖν αὐξήσεως ὂν ψιλοῦται. ἔλεγον, ἔγραφον. Ἔτι ψιλουμέναις μὲν λέξεσιν ἐπιπλεονάζον μεταλαμβάνει τοῦ ψιλοῦ πνεύματος, δασυνομέναις δὲ τοῦ δασέος. ἑωνημένος, ἑώρων. Ἔτι δασυνόμενον ἣν τὸ υ προσλαβὸν ἀποδιφθογγωθῇ, ψιλοῦται. ἕκηλος, εὔκηλος. ἕωλος, εὔωλος. Ἔτι κατὰ τοὺς προκεχωρημένους περιερχόμενον, καὶ ἀποπίπτον ψιλοῦται. ἔτυπτον, τύπτε γάρ.

Η. Τὸ η

Η. Τὸ η πρὸ τοῦ α ἀρχὴ κλίσεως τέ ἐστι, καὶ ψιλοῦται. πρὸ δὲ τοῦ β μὲν δασύνεται, καὶ πρὸ τοῦ γ, πλὴν τοῦ ἠγάθεος. Ἔτι πρὸ τοῦ δ, πλὴν Ἡδονὴ ἔθνος, καὶ ἤδη, καὶ ἦδος. πρὸ δὲ τοῦ ε ψιλοῦται, Ἠετίων, ἠέλιος. πρὸ δὲ τοῦ ζ ἀρχὴ κλίσεως τέ ἐστιν ἀεί, καὶ τὸ πνεῦμα ἴσχει τοῦ ῥήματος. ἅζομαι, ἡζόμην. πρὸ δὲ τοῦ θ ψιλοῦται ἀεί, καὶ πρὸ τοῦ ι. πρὸ δὲ τοῦ κ δασύνεται, πλὴν τοῦ ἠκέστης. Ἔτι πρὸ τοῦ λ ψιλοῦται, πλὴν τοῦ ἥλιος, ἧλος, ἡλικία. πρὸ δὲ τοῦ μ δασύνεται, πλὴν τοῦ ἦμαρ, καὶ ἦμος, ἠμαθόεις, ἠμί, ἠμύειν. πρὸ δὲ τοῦ ν ψιλοῦται, πλὴν τοῦ ἡνία, καὶ τῶν ἐξ αὐτοῦ, καὶ πλὴν τοῦ ἡνίκα. πρὸ δὲ τοῦ ξ ἐπὶ τοῦ ἥξω μέλλοντος μόνου δασύνεται. πρὸ δὲ τοῦ ο, ω ψιλοῦται. ἠώς, Ἠονεύς. Ἔτι πρὸ τοῦ π, πλὴν τοῦ ἧπαρ. πρὸ δὲ τοῦ ρ δασύνεται φύσει μακρᾶς συλλαβιζομένου, Ἥρα, ἥρως. βραχέα δὲ ψιλοῦται, ἠριγέρων, Ἠριδανός, ἠρέμα. Ἔτι πρὸ τοῦ σ δασύνεται, ἥσυχος, Ἡσίοδος. πρὸ δὲ τοῦ τ ψιλοῦται, πλὴν τοῦ ἡττᾶσθαι. Ἔτι πρὸ τοῦ υ, ἠύς. Ἔτι πρὸ τοῦ φ δασύνεται, Ἥφαιστος. πρὸ δὲ τοῦ χ ψιλοῦται, ἦχος, τὸ δὲ ἦχι κατ' ἐπέκτασιν. πρὸ δὲ τοῦ ψ δασύνεται, ὡς ἐκ κλίσεως ὂν τὸ ἅπτω. Καθόλου δὲ ἐξ αὐξήσεως ὂν τὸ πνεῦμα ἔχει τοῦ ῥήματος. αἰδοῦμαι, ᾐδούμην. αἱροῦμαι, ᾑρούμην. Ἔτι ἐν τροχαϊκῇ λέξει ψιλοῦται, πλὴν τοῦ ἧλος, καὶ ἧττον.

Ι. Τὸ ι πρὸ τοῦ α, β, καὶ γ ψιλοῦται· καὶ πρὸ τοῦ δ, εἰ μὴ τὸ ρ ἕποιτο. ἱδρώς, ἱδρύω, πλὴν τοῦ ἴδρυς. πρὸ δὲ τοῦ ε δασύνεται, ἱερόν. καὶ πρὸ τοῦ ζ, ἵζω. πρὸ δὲ τοῦ η ψιλοῦται, πλὴν τοῦ ἵημι τὸ βάλλω. Ἔτι πρὸ τοῦ θ, καὶ κ, πλὴν τοῦ ἵκω, ἱκέτης, ἱκάνω. Ἔτι πρὸ τοῦ λ, πλὴν τοῦ ἵλεως, καὶ ἱλαρός. Ἔτι πρὸ τοῦ μ, συμφώνου ἑπομένου, ἵμβρος. φωνήεντος δὲ οὔ, ἵμερος, πλὴν τοῦ ἴμεν. Ἔτι πρὸ τοῦ ν, πλὴν τοῦ ἵνα. Ἔτι πρὸ τοῦ ξ, ἰξός. Ἔτι πρὸ τοῦ ο, ω. ἰός, ἰών. Ἔτι πρὸ τοῦ π ἑνὸς ὄντος, πλὴν τοῦ ἱππᾶσθαι. Ἔτι πρὸ τοῦ ρ, καὶ πρὸ τοῦ σ, πλὴν τοῦ ἵστωρ, ἱστορία, ἱστός, ἵστημι. Ἔτι πρὸ τοῦ τ, καὶ υ, καὶ φ, καὶ χ, καὶ ψ.

Ο. Τὸ ο πρὸ τοῦ α, καὶ β, καὶ γ, καὶ δ ψιλοῦται. πλὴν τοῦ ὁδός, καὶ ὅδε, καὶ ὁδεῖνα. Ἔτι πρὸ τοῦ ε, ζ, θ, πλὴν τοῦ ὅθεν, καὶ ὅθι. Ἔτι πρὸ τοῦ κ, λ. πλὴν τοῦ ὅλμος, ὁλκή, ὁλκάς, ὅλος. Ἔτι πρὸ τοῦ μ, πλὴν τοῦ ὁμοῦ, καὶ τῶν ἀπὸ τούτου. Ἔτι πρὸ τοῦ ν ἐν ταῖς

ὑπὲρ μίαν συλλαβήν. ὄνυξ, ὄναρ. Ἔτι πρὸ τοῦ ξ, καὶ π. πλὴν τῶν ἐφ' ὧν ἕπεται τὸ λ, καὶ πλὴν τῶν ἀναφορικῶν. Ἔτι πρὸ τοῦ ρ, πλὴν τοῦ ὀρῶ, ὄρος. καὶ ἐφ' ὧν τὸ κ, ἢ τὸ μ ἕπεται. Ἔτι πρὸ τοῦ σ ἐν τοῖς ὑπὲρ μίαν συλλαβήν, πλὴν τοῦ ὅσος, καὶ ὅσιος. Ἔτι πρὸ τοῦ τ, πλὴν τοῦ ὅτι, ὅτε, ὅτῳ. Ἔτι πρὸ τοῦ φ, χ, ψ, ω. πρὸ δὲ τοῦ π, ἑπομένου λ δασύνεται. ὁπλὴ, ὅπλον. καὶ ἐπὶ τῶν ἀναφορικῶν ὁποῖος, ὁπότε, ὅπου, ὁπόσος, ὅπως, ὁπότερον. Ἔτι πρὸ τοῦ ρ, κ ἢ μ ἑπομένου. ὅρκος, ὁρμός. Καὶ πρὸ τοῦ υ δὲ, καὶ σ δασύνεται ἐπὶ τῶν ὃν, καὶ ὃς μονοσυλλάβων. Καθόλου δὲ πλεονάζον τοῖς ἀπὸ συμφώνου ἀρχομένοις ψιλοῦται, ὄμβριμος. καὶ προσδασυνόμενον ἣν προσλάβῃ τὸ υ, ψιλοῦται. ὄρος, οὖρος.

Ω. Τὸ ω ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν ψιλοῦται. πλὴν τοῦ ὡρῶ, ὥρα, ὡρακιῶ. ὧ δὲ ἄρθρον δασύνεται, καὶ ὧ ἰδίως. ὢ δὲ ἐπίρρημα κλητικὸν ψιλοῦται, ὡς εἴρηται.

Υ. Τὸ υ πάσης λέξεως ἀρχόμενον δασύνεται, ὥσπερ τῶν συμφώνων τὸ ρ. Ῥώμη, ῥῆμα, ῥεῖν. Δασύνεται δὲ τὸ ρ, καὶ ἐὰν διπλοῦν γίνηται ἐν μέσῳ λέξεως, οὐκ ἄμφω μέντοι, ἀλλὰ τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται. ῥῆμα, ἐπίρρημα. Κοινὰ δὲ καὶ τὰ περὶ τὰς διφθόγγους, οἷον ἡ αι ἐν ταῖς ὑπὲρ μίαν ψιλοῦται. εἰ μὴ τὸ μ ἕποιτο, αἷμα, πλὴν τοῦ αἱροῦμαι. Ἔτι ἡ αυ ψιλοῦται, πλὴν ἐπὶ τοῦ αὕτη. Ἔτι ἡ ει, πλὴν ἐπὶ τοῦ εἱκτὴ, εἵλως, εἱρμός, εἱλίσσω, εἷμαι, εἷς. Ἔτι ἡ ευ, πλὴν τοῦ εὕδειν, εὕειν, εὑρίσκειν. Ἔτι ἡ οι ἐν ταῖς ὑπὲρ μίαν, πλὴν τοῦ οἶμος, ὁδὸς, καὶ οἷος. Ἔτι ἡ ου, πλὴν τοῦ οὗτος, οὕνεκα. καὶ τῶν μονοσυλλάβων, οὗ, οὗς. οὕτω μὲν τοί(νυν ταῦτα.

DE SPIRITV.

Spiritus litera α. DE ſpiritu aũt cõmuniter conſyderemus ſic, A, α ante ſeipſum tenuatur. Etiã ante β, pręterquam in quibus ρ ſequitur, mollis. ſimiliter uero & in alijs, niſi priuatiuum. peccare, quietus. Pręterea ante γ, præter caſtus, & quod ab eo ſanctus. Itẽ ante δ, præter maturus, Pluto. Rurſum ante ε, & ζ, præter uenerari colere. Porrò ante η, & θ, & ι, & κ, & λ. præter ſaltare, & mare, & quæ ab hoc ſunt. ſequente tamen conſonante primę, uel ſecũdæ, uel tertię cõiugationis ſemper tenuatur. Alphius, alcyon. Item ante μ tenuatur, præter ſimul, & quæ ſunt ab hoc.

hoc.certamen,nexus,peccatum. Item ante ν acuitur,præter placeo.Præterea ante ξ, & ο, ω, & π.præter omnis,ſimplex,accendo.Rurſum ante ρ,præter caſſis,& in quibus μ, uel π ſequitur, currus,harpyia . Item ante σ,præter ἅσσα ſignificatiuũ quæ.Rurſum ante τ,præter ἅττα quæ. Etiam ante υ,& φ,præter tactus.Item ante χ,& ψ. præter ea quæ à cõnecto,uinculum,faſtidioſus. Generaliter autem & α priuatiuum,uel intenſiuum, uel diminutiuum, uel mali,uel modici,uel ſimul,uel ęqualis ſignificatiuũ,uel etiam abũdans tenuatur.rectũ,uaſtum,conſequens,numerale,æqualis,indoctus,ſpica.collectiuum uero aſpiratur ſemper, excipiantur à priuatiuis catena,& Pluto. *Quid α ſignificet.*

E. ε ante α quidem aſpiratur, præter uer, ſi,& placere. Ante β uero tenuatur,niſi δ,uel ρ ſequatur. ſeptimus,Hebræus.Itẽ ante γ, & δ.præter ſolũ,ſedes,ſponſalia,ſedebit, unde reſidebit.Rurſum ante ſeipſum,præter ros. Præterea ante ζ,præter reclino,unde ſedeo.Verum ante κ aſpiratur, præter eram,& Eenus fluuius.Ante uero θ tenuatur,pręter ſui.Cæterũ ante κ aſpiratur,niſi à dictione excidat, queadmodum in ille, ille. & præter ἐκ, & quæ ex ea. excipiantur & hæc,ſocer,& induciæ.Ante uero λ tenuatur, præter Græcus,palus,pãpinus,lũbricus.Item ante μ,præter teſtudo lutaria.Et ante ν,præter propter,unũ,& uniens. Ante uero ξ aſpiratur,præter ἕξ,& quæ ex ea.Itẽ ante ο,præter exiens & ſi ex declinatione. Ante π uero tenuatur,præter tracto,ſeptẽ.Et ante ρ,niſi δ,uel ρ,uel μ, uel π, uel σ ſequatur. facere,ſeptũ,ſerpere,Mercurius,ros.Item ante σ, præter cõuiuor,ſteti,focus. Rurſum ante τ, præter paratus, alter, ſocius.Pręterea ante ν,& φ, præter coctus,etiam ante χ.Ante uero ψ aſpiratur, & ante ω. præter ſum, unde ſum,& ſino. Vniuerſaliter uero ex declinatione,ſiue augmento tenuatur,dicebam,ſcribebã.Item in tenuatis dictionibus abundans quidem aſſumit tenuem ſpiritum , in aſpiratis uero aſperum. ut emptus,uidebã.Item aſpiratum,ſi υ aſſumens per diphthongum enuncietur , tenuatur . ut tranquillus, *Litera ε ſpiritus.*

tranquillus.marcidus,marcidus. Etiam in præteritis præcedens,& decidens tenuatur,uerberabam, nam uerbera.

Spiritus literæ η. H. H ante α & à declinatione eſt,& tenuatur. ante uero β aſpiratur,& ante ρ,prẹter diuinus.Præterea ante δ,prẹter Edone gens,& iam,& uoluptas.Ante uero ε tenuatur, Ection,ſol.At ante ζ,& à declinatione eſt ſemper,& ſpiritum habet uerbi. ut ueneror, uenerabar. Verum ante θ tenuatur ſemper,& ante ι.Ante uero κ aſpiratur,præter indomitus.Præterea ante λ tenuatur,præter ſol, clauus,ætas. Rurſum ante μ aſpiratur,præter dies,& quando, arenoſus,dico,flectere.Cæterũ ante ν tenuatur, præter habenæ,& quæ ex eo,& præter quando.Ante uero ξ in ueniam futuro ſolo aſpiratur.Præterea ante ο,& ω tenuatur.aurora,Eoneus. Item ante π,iecur.Ante uero ρ aſpiratur,quando in ſyllaba ſit natura longa.ut Iuno,heros. nam in breui tenuatur, ſenecio,Eridanus,ſenſim.Præterea ante σ aſpiratur,quietus,Heſiodus.Ante τ autem tenuatur,præter uinci.Etiam ante υ,bonus.Item ante φ aſpiratur,Vulcanus. ante uero χ tenuatur,ſonus,ſed ubi per extenſionem eſt. Cæterum ante ψ aſpiratur,ut quod ex declinatione ſit accendo.Generaliter uero quod ex augmento eſt, ſpiritum habet uerbi.uereor,uerebar. eligo,eligebam. Præterea in trochaica dictione tenuatur,præter clauus, & iecur.

Spiritus literæ ι. I. I ante α,β,γ tenuatur,& ante δ,niſi ρ ſequatur.ut ſudor,firmo,præter ſciens. Ante ε autem aſpiratur, præter ſacrum.& ante ζ,cõſtituo.Ante uero η tenuatur,præter mitto,id eſt iacio.Item ante θ,& κ. præteruenio, ſupplex, peruenio.Item ante λ,præter propitius,& hilaris.Item ante μ conſonante ſequente,imber.uocali uero,non, ut deſyderium,præter uadimus.Item ante ν,præter ut.Etiam ante ξ, ut uiſcum.Item ante ο,ω.rubigo,iens. Itẽ ante π ſimplex, præter uolare.Rurſum ante ρ,& ante σ.præter teſtis,narratio,tela,ſto.Porrò ante τ,& υ,& φ,& χ,& ψ tenuatur.

Spiritus literæ ο. O. O ante α,& β,& γ,& δ tenuatur.præter uia, & hic,& iſthic.Prẹtereà ante ε,ζ,θ,prẹter unde,& quod.Rurſum ante κ,

te κ,& λ. præter pila, tractus, nauis oneraria, totus. Et ante μ, præter ſimul, & quæ ab hoc. Item ante ν in pluſquam ſyllabicis, unguis, per ſomniũ. Item ante ξ, & π, demptis his in quibus ſequitur λ, demptis item & relatiuis. Item ante ρ, præter uideo, finis. & hæc in quibus κ, uel μ ſequitur. Rurſum ante σ in pluſquamſyllabicis, præter quantus, & ſanctus. Præterea ante τ, præter quod, quando, cui. Cæterum ante φ, χ, ψ, ω. Ante π uero ſequente λ aſpiratur, ungula, ſcutum. & in relatiuis, qualis, quando, ubi, quantus, quomodo, uter. Etiam ante ρ, κ uel μ ſequente, ut iuſiurandum, monile. Ante ν uero, & σ aſpiratur in quem & quis monoſyllabis. Generaliter uero quod abundat dictionibus à conſonante incipientibus tenuatur, ut impetuoſus. & ante aſpiratum, ſi aſſumpſerit υ, tenuatur. finis, finis.

Ω. Ω in dictionibus pluſquamſyllabicis tenuatur, præter uideo, hora, deficio. cui uero articulus additur, aſpiratur, & cui proprio. O uero aduerbium uocandi tenuatur, ut dictum eſt. *Spiritus litera ω.*

Υ. Υ ubi dictionem incipit, aſpiratur, quemadmodũ ex conſonantibus ρ. ut robur, uerbum, fluere. Aſpiratur uero ρ, etiam ſi duplex fuerit in medio dictionis, non ambæ tamen, at prima quidem tenuatur, ſecũda uero aſpiratur. ut uerbum, aduerbium. *Spiritus litera υ.* Communia uero & quæ circa diphthongos, ut αι in pluſquamſyllabicis tenuatur, niſi μ ſequitur. ſanguis, præter eligo. Itẽ αυ tenuatur, prẹterquã in hæc. Præterea ει, niſi in carcer, ſeruus, ſeries, uoluo, indutus ſum, unus. Porrò ευ, præter dormire, urere, inuenire. Itẽ οι in pluſquãſyllabicis, prẹter uia, uia, qualis. Etiã ου, præter hic, quoniam, & monoſyllaba, cuius, quos, ſic ego hẹc, *Diphthongorum ſpiritus.*

ΠΕΡΙ ΟΡΘΟΓΡΑΦΙΑΣ.

Τίνα δ' ἐστὶ γραπτέον φωνήεσι καὶ διφθόγγοις, οἷον τίνα μὲν διὰ μικροῦ ο, τίνα δὲ τῷ μεγάλῳ, καὶ τίνα μὲν διὰ ε, τίνα δὲ τῷ η, ἢ τῇ αι καὶ τίνα μὲν τῷ υ, τίνα δὲ τῇ οι. καὶ τίνα μὲν διὰ ι, τίνα δὲ τῇ ει τῇ μὲν παραδόσει κανόνων, τῇ δὲ ἐτυμολογίᾳ ληπτέον. οἷον τὸ Ἡπε-

ρος τὸ μὲν ο ἐκ παραδόσεως μικρόν, τὸ δὲ η, καὶ ει διὰ ἐτυμολογίας, ὅτι ἀπὸ τοῦ α, καὶ πέρας ἄπειρος, καὶ τροπὴ τοῦ α εἰς η, καὶ προσλήψει τοῦ ι Ἤπειρος. Ὥστε σκεπτέον ὅπως τὰ σύνθετα ἔχει, καὶ ἄλλως παράγωγα. οὐ μόνον ὅτι πολλὰ ἡ σύνθεσις μεταβάλλει, καὶ ὅλως ἡ παραγωγή. οἷον ὄνομα, ἀντωνυμία. ὄρος, ἀκρώρεια. πείθω, πιθανός. λείβω, λοιβή, λιβάς. ἀλλὰ καὶ ὅτι διαφόρως τῆς συνθέσεως γιγνομένης, διαφόρως ἂν καὶ ὀρθογραφοῖτο τὰ μέσα. τῶν γάρ τοι συνθέτων τὰ μὲν ἐκ δυοῖν τελείων, χειρίσοφος. τὰ δὲ ἐκ δυοῖν ἀπολειπόντων, Σοφοκλῆς. τὰ δὲ ἐξ ἀπολείποντος, καὶ τελείου, φιλόδημος. τὰ δὲ ἀνάπαλιν, Περικλῆς. Ὥστε καὶ συμβαίνει διὰ τὸ πολὺ τῆς φωνῆς σύνθετον, καὶ παράγωγον, ἐτυμολογικὸν δεῖν εἶναι τὸν μέλλοντα τελέως ὀρθογραφεῖν. Δι᾽ ἀκριβείας δὲ περὶ ἐτυμολογίας εἰπεῖν, καὶ περὶ ἀφαιρέσεως, καὶ προσλήψεως, καὶ ὅλως μεταβολῆς, οὐ τοῦ παρόντος σκοποῦ.

DE ORTHOGRAPHIA.

QVæ uero quibus ſcribenda uocalibus, & diphthongis. népe aliqua ο paruo, aliqua ω magno, aliqua itẽ per ι, aliqua per η, uel per αι. rurſum aliqua per υ, aliqua per ο. poſtremo quædã per ι, nonnulla etiam per ει. quæ partim arti ſubiacent, partim ex etymologia ſumenda ſunt, ut Epirus ο quidem ex traditione paruũ habet, η uero, & ει ex etymologia, quia ab α, & finis infinitus, mutata α in η, & aſſumpta ι fit Epirus. Quamobrem cõſyderandum qualiter compoſita habent, & aliter deriuatiua, non ſolum quia uaria compoſitio mutat, ac prorſus deriuatio. ut nomen, pronomen. mons, uertex. ſuadeo, probabilis. libo, libamen, gutta. ſed & quoniã differenter fit compoſitio, differenter etiam conſcribantur & mediæ. Etenim compoſitorum alia quidem ex integris, ut induſtrius. alia uero ex duobus corruptis, Sophocles. alia item ex corrupto, & integro, ſtudioſus populi. alia uero contra, Pericles. Quare etiam fit, ut propter uariam uocis compoſitionem Etymologicum oporteat eſſe eum, qui perfecte ſcripturus ſit. Cęterũ accurate de etymologia

logia dicere,deq; ablatione,& aſſumptione, & omnino de mutatione,non eſt præſentis ſpeculationis.

Η ΤΩΝ ΦΩΝΗΕΝΤΩΝ ΤΡΟΠΗ ΤΕΤΡΑΧΩΣ.

Λανθάνειν μὲν οὐδ' ἐνταῦθα χρή, ὅτι τῶν φωνηέντων ἡ τροπὴ τετραχῶς. ἢ γὰρ τὸ βραχὺ τρέπεται εἰς βραχύ, Μενόλαος, Μενέλαος. ἢ τὸ μακρὸν εἰς μακρόν, Πυθαγόρας, Πυθαγόρης. ἢ τὸ βραχὺ εἰς μακρόν, ἔρως, ἥρως. ἢ τὸ μακρὸν εἰς βραχύ, λαός, λεώς. Πάμπολλα δὲ παρὰ τὴν κλίσιν ἐστὶν ὀρθογραφεῖν, οἷον Θέωνι μὲν τῷ μεγάλῳ, Μέμνονι δὲ τῷ μικρῷ. ἄμφω δὲ τῷ ι, ὅτι πᾶσα δοτικὴ τῷ ι ἤτοι ἐκφωνουμένῳ, ἢ μή. ἀλλ' ἐν διφθόγγῳ ὡς ἐπὶ τῶν ἰσοσυλλάβων, Πέρσῃ, καλῷ. Ἐτίτυψα, ἔτυψα τῷ υ, ὅτι τὸ τύπτω. οὕτω καὶ ἔμεινα τῇ ει, ὅτι ἀπὸ τοῦ μένω διφθόγγου διὰ ταύτης συμβαίνει. Εἴη δ' ἂν καὶ ἀναλογίᾳ θεωροῦντι ὀρθογραφεῖν, οἷον εἰ τὸ ταχεῖα τῇ διφθόγγῳ, ὅτι τὸ βραδεῖα. ὡς γὰρ ἀπὸ τοῦ ταχέος ταχεῖα, οὕτω καὶ ἀπὸ τοῦ βραδέος βραδεῖα. Ἔτι συστοιχείᾳ, ὡς γὰρ τὸ δίκαιος τῇ αι, οὕτω καὶ τὸ δικαία, καὶ δίκαιον, καὶ δικαιοσύνη, καὶ δικαιοῦν. Σκεπτέον δὲ καὶ εἰ διὰ συναίρεσιν, καὶ ὅλως εἰ διὰ πάθος. οἷον φθοῖς τῇ διφθόγγῳ, ὅτι τοῦ φθόϊς τὸ ο, καὶ ι συνῄρηται. Καὶ εἰ ἀπὸ διαλέκτου εἴη πως συνιέναι, οἷον τὸ ἡμεῖς η γραπτέον, ὅτι ἄμες οἱ Δωριεῖς λέγουσι. καὶ τὸ μύρμηξ, ὅτι μύρμαξ. ἃ γὰρ ἐκεῖνοι τῷ α, ἡμεῖς τῷ η, ποιότης μὲν οὖν ἂν εἴη λέξεως καὶ ἡ ὀρθογραφία περὶ τὰ ἀντιστοιχοῦντα. Ἔστι δὲ τῶν ἀρχικῶν τε, καὶ τελικῶν τὰ πολλὰ ἐκ παραδόσεως, καὶ τὴν μὲν τῶν ἀρχικῶν ὀρθογραφίαν ἐκ τῶν ὕστερον ῥηθησομένων κοινῶν ληπτέον, τὴν δὲ τῶν τελικῶν, καὶ τῶν μέσων. Ἔστι μὲν καὶ ἐκ τῶν σχηματιστικῶν τόπων, καὶ ἐκ τῶν νῦν εἰρημένων ἔνια καθορθοῦν. τὸ γὰρ ι ο, καὶ ε ἐπαμφοτερίζει. ἰδίᾳ δέ, καὶ ἐπὶ πλέον ἐκ τῶνδε.

VOCALIVM MVTATIO QVADRVPLICITER.

Latere uero neq; hic oportet, quod uocalium mutatio quadruplex ſit . uel enim breuis uertitur in breuem, Menolaus, Menelaus . uel longa in longam , Pythagoras , Pythagores . uel breuis in longam , amor , heros,

uel longa in breuem. populus, populus. Quãpluria ſecundum inflexionem licet recte ſcribere, ut Theoni per ω magnum, Memnoni per ο paruum. at utrunq; per ι, quod omnis datiuus per ι finit ſiue prolatũ, ſiue non, ſed in diphthõgo ut in periſyllabis. Perſæ, pulchro. Et uerberabo, uerberaui per υ, quia ſic uerbero. Sic & mãſi per ſ, quod à maneo diphthongari ita accidit. Licebit uero & per analogiã cõſyderanti recte ſcribere, ut cita per ſ diphthongũ, quia & tarda. nã quemadmodũ à citi cita formatur, ſic & à tardi tarda. Et per literarũ cognationẽ, nempe ut iuſtus per αι ſcribitur, ſic & iuſta, & iuſtũ, & iuſtitia, & iuſtificans. Conſyderãdum itaq; & ſi per ſynæreſin, & omnino ſi per affectũ, ut placenta diphthongo, quia dictionis placenta ο & ι ſunt contracta. Et ſi ex idiomate detur quoquã pacto cõuenire, ut nos per η ſcribendum, quia nos Dores dicunt, & formica, quod formica. quæ enim illi per α, nos per η ſcribimus. Qualitas igitur fuerit dictionis etiã orthographia circa oppoſitas literas. Sunt autem initialiumq;, & finalium multæ ex traditione, & initialium quidem recta ſcriptura ex poſt dicendis communibus ſumenda eſt. uerum finalium, & mediarum licet quidem ex formatiuis locis, atq; ex nunc dictis nonnullas exigere. etenim ο, & ε rationis ſunt ancipitis, at ſeorſim, & amplius ex his.

Dorice α pro η.

Τελικὰ ὅσα διὰ τοῦ η.

Τελευτᾷ μὲν εἰς η τῶν ὀνομάτων τὰ εἰς η λήγοντα θηλυκά, ἀρετή. Ἔτι τὰ εἰς ης, ἤτοι ἰσοσυλλάβως κλινόμενα, ἢ διὰ τοῦ ος, ἢ διὰ τοῦ τ, Δημοσθένης, Χρύσης, Λάχης. Ἔτι τὰ εἰς ηρ, πλὴν τοῦ χείρ, φθείρ, εἴρ, εἰνατείρ, σαφὲς τῷ ει. Ἔτι τὰ εἰς ην, μὴ ὄντα δικατάληκτα, ἀλλ' οὐ πάντα. Φόρκυν γάρ, καὶ μόσυν διὰ τοῦ υ. δικατάληκτα δὲ διὰ τοῦ ι, δελφίν, καὶ δελφίς. ἀκτίν, καὶ ἀκτίς. ῥίν καὶ ῥίς, θίν καὶ θίς. Ἔτι τὰ εἰς ηξ Δωρισὶ εἰς αξ προφερόμενα, μύρμηξ, νάρθηξ. Ἔτι τὰ ἐκ τοῦ πλήσσω, βουπλήξ. Εἰς ι δὲ τά τε δικατάληκτα ὡς εἴρηται, καὶ τὰ εἰς ι οὐδέτερα. πλὴν τοῦ ἄστυ, γόνυ, πῶυ, δόρυ, καὶ τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν, ταῦτα γὰρ τῷ υ. Ἔτι τὰ εἰς ις, τῷ δ κλινόμενα, ἢ διὰ

ἢ διὰ θ ὡς ἐπὶ τὸ πλεῖστον. Γ άεις, ὄρνις. Εἰ δὲ διὰ ντ κλίνοιτο, τῇ ει διφθογγογραφεῖται. χαρίεις, αἰγλήεις. Ἔτι τῶν εἰς δισύμφωνον ληγόντων, τὸ ἕλμινς.

Finales quæque per ϰ.

Finiunt quidem in ϰ nomina in ϰ deſinentia fœminina, uirtus. Nomina etiam in ης uel pariſyllabicè declinata, uel per εος, uel per τ. Demoſthenes, Chryſes, Laches. Item in ης, præter manus, pediculus, ir, glos, ſapphirus per ει. Rurſum in ην nõ bitermina, quanq̃ nõ omnia. Phorcyn enim, & turris per υ. Bitermina autem per ι, delphin, delphis. radius, & radius. naſus, & naſus. littus, & littus. Præterea in ηξ Doricè in αξ prolata. formica, ferula. Item quæ ex percutio, ſtimulus. in ι autẽ, & bitermina ut dictum eſt, & in ι neutra. præter urbs, genu, ouile, haſta. & ea quæ ab maſculinis in υς, hæc enim per υ. Præterea in ις per δ declinata, uel per θ ut plurimum. Paris, auis. Si uerò per ντ flectãtur, per ει diphthongũ ſcribuntur. uenuſtus, ſplendidus. Rurſum ex deſinentibus in conſonã duplicem, lumbricus.

Ὅσα διὰ υ.

Εἰς υ δὲ τάτε εἰρημένα οὐδέτερα, καὶ ὅσα τῶν ἀρσενικῶν τριγενῆ ὄντα, οὐχ ὁμόφωνον ἔχει τὸ θηλυκόν. ἡδύς, ἡδεῖα, ἡδύ. Ἔτι τὰ μονοσύλλαβα, μῦς, δρῦς, σῦς. Ἔτι τὰ εἰς ις τῶν θηλυκῶν ὀξύτονα ὡς ἐπὶ τὸ πλεῖστον, πλὴν τῶν πατρωνυμικῶν, καὶ ὑποκοριστικῶν, ταῦτα γὰρ τῷ ι. Ἔτι τῶν εἰς δισύμφωνον ληγόντων, τὸ Τίρυνς. Ἔτι τὸ στάχυς, πέλεκυς, βότρυς, πῆχυς, ἔγχελυς. Ἔτι τὰ εἰς ξ τῶν μονοσυλλάβων, σὺξ, φρὺξ, πλὴν τοῦ προῖξ τῇ οι. Καὶ τῶν ὑπὲρ μίαν συλλαβὴν, πλὴν τοῦ φοῖνιξ, κύλιξ, πέτιξ.

Quæ per υ.

In υ uerò & prædicta neutra, & quæcunq; maſculina quæ trium ſunt generum, non eiuſdem uocis habent fœminina. iucundus, iucunda, iucundũ. Item monoſyllaba, mus, quercus, ſus. Præterea in ις fœminina acuta quamplurimum, *præter patronymica, * & diminutiua, * hæc enim per ι. Rurſum ex deſinentibus in cõſonam duplicem, Ty

ἡ ἐριννύς. ἡ νησοΐς. ἡ θραπαυίς,

rins. Item ſpica, ſecuris, botrus, cubitus, anguilla. Item in ξ monoſyllaba, ut Styx, Phryx, præter dos p οι. Et pluſquāſyllabica, præter Phœnix, calix, cicada.

Ὅσα τῇ αι.

Εἰς αι δὲ τὰ εἰς αις λήγοντα μονογενῆ, ἢ οὐ τριγενῆ. δαΐς, σταὶς, παῖς. Ἔτι τὰ εἰς αιξ, γύναιξ, αἶξ. πλὴν τῶν ἀπὸ τοῦ τέκω, καλλίτεξ, ἐπίτεξ, καὶ πλὴν τοῦ ἕξ. Τῶν δὲ ψ διφθόγγων οὐδεμία συλλαβιζομένη λήγει. Εἰς ο δὲ μικρὸν τὰ τριτόκλιτα πάντα, ὅσιος, ὅσιον. Εἰς ω δὲ μέγα τὰ εἰς ων ἀρσενικά τε, καὶ θηλυκά, καὶ ἔτι οὐδέτερα Ἀττικά. λέων, ἀηδὼν, εὔγεων. Ἔτι τὰ εἰς ωρ, Νέστωρ, ὕδωρ. πλὴν τοῦ ἄορ, ἦτορ. Ἔτι τὰ εἰς ως, καὶ ω τεταρτόκλιτα, καὶ πεμπτόκλιτα. Λητὼ, αἰδὼς, ἥρως, Μενέλεως. Ἔτι τὰ εἰς ωψ μονοσύλλαβα, πλὴν τοῦ ὂψ τῆς φωνῆς.

Quæ per αι.

In αι uerò quæ in αις deſinūt unius generis, uel nō triū. conuiuiū, paſta, puer. & quæ in αιξ, mulier, capra. demptis quæ ſunt à pario, pulchre pariēs, partui propinqua, & præter ſex. Per ψ autem diphthongorū nulla in eadem ſyllaba deſinit. In ο uerò paruū tertiæ inflexionis omnia, ſanctus, ſanctum. Cæterum in ω magnum, & ων maſculina, & fœmi nina, & etiam neutra Attica: leo, luſcinia, ferax. Item in ωρ, Neſtor, aqua. præter enſis, cor. Rurſum in ως, & ω, quartę, & quintæ. Latona, uerecūdia, heros, Menelaus. Porrò in ωψ monoſyllaba, præter ops pro uoce.

Μέσα ἁπλῶς ὅσα τῷ ε.

Μεσοσυλλαβεῖ δὲ ε μὲν τὰ εἰς εος ὀξύτονα, πλὴν τοῦ Ἀχαιός, παλαιός, ἐραιός, κραταιός. Ἔτι τὰ εἰς εος θετικὰ, ἐλπιστέος, δοτέος, πλὴν τοῦ εὐκταῖος. Ἔτι τὰ ἀπὸ τοῦ γέα σύνθετα, ποιὰν γῆν σημαίνοντα, Βαθύγεων, λιπαρόγεων, λιπρόγεων. Ἔτι τὰ εἰς ελιος, ἢ εἰς ελος, πλὴν τῶν ἀπὸ τοῦ ἥλιος. Ἔτι τὰ εἰς εμων, πλὴν τῶν ἀπὸ τοῦ δαίμων. Ἔτι τὰ εἰς ενος, πλὴν τῶν ἀπὸ τοῦ αἶνος. Ἔτι εἰ ἐν μέσῳ λέξεως ἁπλῆς ε, ἑπόμενον ἔχον δισύμφωνον, καθέδρα. Ἔτι τὰ εἰς ερος ὀξύτονα, πενθερὸς, ἱερός. πλὴν τοῦ θαιρὸς, καὶ καιρός. Ἔτι τὰ εἰς ερα θηλυκὰ, πλὴν τοῦ αἶρα, σφαῖρα, καὶ τῶν προπαροξυτόνων, μάκαιρα, ἰοχέαι-

ρα,

ρα, Χίμαιρα, μάχαιρα, Νέαιρα. Ἔτι τὰ εἰς ετης εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, ἱκέτης, εὐχέτης. μελέτη, Δημαινέτη. πλὴν τῶν ἀπὸ τοῦ αἴτης, καὶ χαίτη. Ἔτι τὰ εἰς ετος ὀξύτονα, νιφετὸς, πυρετός. Ἔτι τὰ ἐκ τοῦ ἀρχὸς, ἀρχέγονος, Ἀρχέδημος. καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς ος, ἢ εἰς ον.

Media ſimpliciter quæ per ε.

Mediam uerò faciunt ε quidem nomina in εος acuta, prȩter Achæus, antiquus, rarus, fortis. Item in τεος poſitiua, ſperandus, dandus, præter optandus. Rurſum à terra com poſita aliquam terram ſignificántia, profundã habens terram, pinguem, ſterilem. Præterea in ελιος, uel in ελος, demptis quæ ab affinis. Rurſum in εμων, exceptis his quæ à dæmon. Etiam quæ in ενος, præter ea quæ à laus. Item in medio dictionis ſimplicis ε, ſequentem habẽs duplicem con ſonam, ſedes. Præterea in ερος acuta, ſocer, ſacerdos. præter cardo, & occaſio. Item in ερα fœminina, præter loliũ, ſphæ ra. & antepenacuta, beata, ſagittis gaudẽs, Chimæra, machæ ra, Neæra. Item in ετης ſiue maſculina, ſiue fœminina, ſupplex, orans. cura, Demenete. præter ea quæ ab inops, & iuba. Rurſum deſinentia in ετος nomina acuta, nix, febris. Præterea quæ à princeps, author generis, princeps populi. & omnino à deſinentibus in ος, aut in ον.

Ὅσα τῇ αιτερος.

Τὰ γε μὴν εἰς αιτερος, καὶ αιτατος τὴν ἀπὸ τοῦ τέλους τρίτην δίφθογγον ἔχει. ἰσαίτερος, ἰσαίτατος. γεραίτερος, γεραίτατος, πλὴν τῶν ἀπὸ τῶν πρωτοτύπων ἀντωνυμιῶν, ἡμέτερος, σφέτερος, ἐξαιρείσθω δὲ καὶ τὸ ἕτερος. Ἔτι τὰ εἰς αινα θηλυκὰ, λέαινα, μύραινα. καὶ τὰ εἰς αινις ὀξύτονα, μαινίς. Ἔτι τὰ ἀπὸ τῶν εἰς α, καὶ εἰς η θηλυκῶν εἰς αιος τῇ αι μεσοσυλλαβεῖ. Γάζα, Γαζαῖος. γώνα, γωναῖος. Ῥώμη, Ῥωμαῖος. Ἔτι τὰ εἰς αιον οὐδέτερα, σπήλαιον, βέβαιον. πλὴν τῶν εἰς ουν συναιρεῖσθαι δυναμένων, κυάνεον, χρύσεον. Ἔτι τὰ εἰς αια θηλυκὰ μονογενῆ συναίρεσιν οὐκ ἐπιδεχόμενα, οἷον γαῖα, νεολαία.

Quæ per *αι*.

Cæterum nomina in *αιτερος*, & *αιτατος* tertiam à fine diphthongatam habēt. æqualior, æqualiſsimus. ſenior,ſe-nior, ſeniſsimus. præter ea quæ fiunt à primitiuis prono-minibus, noſter, ſuus, excipiatur uerò & alter. Deſinentia item in *αινα* fœminina, leæna, muræna, & in *αινις* acuta. Et à nominibus in *α*, & in *η* fœminina deſinentia in *αιος* per *αι* mediam habent. Gaza, Gazæus. generatio, genero-ſus. Roma, Romanus. In *αιον* item neutra, ſpelunca, fir-mum. præter quæ in *ουν* contrahi poſſunt, cæruleum, au-reum. ad hæc in *αια* fœminina unius generis, contractio-nem non admittentia. ut terra, iuuentus.

Ὅσα διὰ τοῦ η.

Ἔτι δὲ τὰ εἰς ηγος, καὶ ηλος, καὶ ηρος ὀξύτονα. χορηγὸς, ὑψη-λὸς, αὐθηρὸς, ξηρός. πλὴν τοῦ νεογιλὸς τῷ ι, καὶ ἁλμυρὸς, ἰσχυρὸς, βδελυρὸς διὰ τοῦ υ. Ἔτι τὰ εἰς ηδων, Σαρπηδὼν, ἀη-δών. πλὴν τοῦ χελιδὼν, καὶ Μυρμιδών. Ἔτι τὰ εἰς ηνος, καὶ ηθος οὐδέτερα. σμῆνος, κτῆνος. ἦθος, στῆθος. Ἔτι τὰ εἰς ηνος ὀξύτονα τόπου, καὶ ἔθνους σημαντικά. Κυζικηνὸς, Ἀγαρηνός. πλὴν τοῦ Ἀτραμυτινὸς, καὶ Μελιτινὸς διὰ τοῦ ι. καὶ μὴν δὴ καὶ Πικηνὸς, καὶ Γαληνὸς διὰ τοῦ η. Ἔτι τὰ διὰ τοῦ ηθρα, καὶ ητρα θηλυ-κά. οὐρήθρα, ὀρτυγομήτρα. Ἔτι τὰ εἰς ηρης, πλήρης, ξιφή-ρης. πλὴν τοῦ Ἶρις, καὶ Ὄσιρις τῷ ι. Ἔτι τὰ εἰς ηριον οὐδέτε-ρα, ποτήριον, τεκμήριον. Ἔτι τὰ εἰς ηκοντα παρωνύμως ἀπὸ τῶν ἀριθμῶν, πεντήκοντα, ἑξήκοντα, ἑβδομήκοντα. Τά γε μὴν εἰς μα τῶν οὐδετέρων ῥηματικὰ τὸ τοῦ ἰδίου μέλλοντος παραλῆγον σώζει, ποιήσω, ποίημα. τύψω, τύμμα. πείσω, πεῖσμα, ὥσπερ ἄρα καὶ τὰ εἰς τος παθητικά. Θεωρητέον γε-μὴν τὰ τοιαῦτα καὶ κοινότερον, ὡς ἀπὸ τοῦ παθητικοῦ σχηματι-ζόμενα παρακειμένου, ὁμόγραφον γὰρ τὴν παραλήγουσαν ἴσχειν τῇ τοῦ προσώπου ὅθεν παράγεται, ἀνάγκη. καὶ ὅλως τὸ παρα-λῆγον αὐτὸ σώζει τῆς ἰδίας ἀρχῆς, γέγραμμαι, γραμμὴ, γράμ-μα. εἴλημμαι, λῆμμα. λέλυσαι, λύσις. λέλεξαι, λέξις. πε-ποίηται, ποιητόν. ἠλέξηται, ἀλεξητήριον.

Quæ per η.

Η uero nomina in ηγος,& ηλος, & ηρος acuta. chorægus,altus, floridus,ſiccus. præter nuper natus per ι, & fortis,ſalſus,execrandus per υ. Item in ηδων,Sarpedon, aedo. præter hirundo,Myrmido. Rurſum deſinentia in ηνος, & ηθος neutra. alueare,pecus.mos,pectus. Præterea in ηνος acuta, loci, & gentis ſignificatiua. Cyzicenus, Agarenus. præter Atramytinus, & Melitinus per ι. atque ſanè & Picenus,& Galenus per η. Item per ηθρα,& ητρα fœminina. urethra,coturnicum matrix. Rurſum in ηρης,plenus,enſifer. præter Iris,& Oſiris per ι. Præterea in ηριον neutra,poculum,coniectura. Item in ηκοντα denominatiue à numeris, quinquaginta,ſexaginta, ſeptuaginta. Cæterum in μα neutra uerbalia literam proprij futuri penultimam ſeruant. faciam, poëma. uerberabo, uulnus. ſuadeo, ſuaſio, quemadmodum & in τος paſſiua. Diſpicienda tamen ſunt talia etiam communius, ut à paſſiuo formata præterito. ſcriptam enim ſimiliter penultimã habere cum penultima perſonæ unde deducuntur, neceſſe eſt. Et omnino penultimam ipſam ſeruant ſui principij, ſcriptus ſum,linea,litera, captus ſum, lucrum. ſolutus ſum, ſolutio. dictus ſum, dictio. factus eſt, factum. adiutus eſt, adiutorium.

Ὅσα διὰ ι.

Ἰῶτα δὲ τὰ εἰς ια ὀξύτονα, καὶ παροξύτονα θηλυκά. λαλιά, καρδία. πλὴν τοῦ παρειά, φορβειά, ὑγειά, καὶ σιτοδεία τῷ ει, καὶ ὀργυιὰ τῷ υι. καὶ πλὴν τῶν ἀπὸ τῶν εἰς ευω ῥημάτων, πρεσβεία. Εἶτα τὰ εἰς ιας ὀξύτονα θηλυκά, μυριάς. πλὴν τοῦ γενειάς, καὶ πελειάς τῷ ει. Εἶτα τὰ εἰς ιος ὀξύτονα, καὶ προπαροξύτονα. Ἀσκληπιός, ἄξιος. καὶ τὰ εἰς ιον, καὶ ιος βαρύτονα ὑπερδισύλλαβα. βιβλίον, γραμμάτιον, Ἀξίος. πλὴν τῶν κτητικῶν, καὶ περιεκτικῶν, καὶ μετουσιαστικῶν. καὶ πλὴν τοῦ ἀφνειός τῷ ει, καὶ κολοιός τῷ οι. τὸ δὲ ἐπηός, καὶ αἰζηός ἐκ πάθους διὰ η. ἐξαιρέσθω καὶ τὰ ἀπὸ τῶν τῷ εος κλινομένων, Ἡράκλειος τῷ ει. καὶ δίκτυον, σίκυον διὰ υ γραφομένων, καὶ πλοῖον τῷ οι.

Ἔτι τὰ εἰς ιων συγκριτικὰ ὑπερδισύλλαβα, βελτίων. πλὴν τοῦ ἀρείων, χερείων τῇ ει. Ἔτι τὰ ἀπὸ τῶν εἰς α, καὶ εἰς η, καὶ εἰς ος ὀνομάτων ὑποκοριστικὰ εἰς ιδιον. μοῖρα, μοιρίδιον. κλίνη, κλινίδιον. νῆσος, νησίδιον. πλὴν τοῦ γῆ γήδιον, γῆ γὰρ διὰ η. Καὶ τὰ εἰς ιδης τῶν πατρωνυμικῶν ἀπαθῆ, Πριαμίδης, Πηλείδης. οὕτω δὲ καὶ ἀδελφιδοῦς, καὶ θυγατριδοῦς, καὶ τὰ τοιαῦτα. Ἔτι τὰ εἰς κος κτητικὰ, πλὴν τοῦ Εὐβοϊκὸς, Δεκελεικὸς, Δαρεικὸς τῇ ει. καὶ θηλυκὸν, Λιβυκὸν διὰ υ. Ἔτι τὰ εἰς ιλος παροξύτονα, ποικίλος, ναυτίλος. Ἔτι τὰ εἰς ιλευς, Ἀχιλλεὺς, Βασιλεύς. πλὴν τοῦ Πηλεὺς, Νηλεύς. Ἔτι τὰ εἰς ιμος προπαροξύτονα, πλὴν τοῦ δῆμος. καὶ τῶν ἀπὸ τοῦ σχῆμα, καὶ σῆμα, καὶ δῆμος, καὶ φήμη συγκειμένων, πολύσχημος, ἐπίδημος, πάνδημος, πολύφημος διὰ η. καὶ πλὴν τοῦ δίδυμος, σκόλυμος, ἔτυμος, καὶ τῶν ἀπὸ ὄνομα συγκειμένων, ὁμώνυμος διὰ υ, καὶ πλὴν τοῦ ἕτοιμος τῇ οι. Ἔτι τὰ εἰς ινος ὀξύτονα, καιροῦ τε, καὶ ὥρας σημαντικά. θερινὸς, χειμερινὸς, ἡμερινός. τούτοις δ' ὁμοίως καὶ τὸ ῥαδινὸς, καὶ φυσκινός. καὶ βαρύτονα δ' ὄντα ὁμοίως, πῖνος, ἐχῖνος, Ἀκραγαντῖνος, ξύλινος. ἄλλως δὲ τὰ παρώνυμα τῇ ει, ἐλεεινὸς, φωτεινός. Τῶν γε μὴν εἰς ινη, τὰ μὲν ἀπὸ τῶν εἰς ος, ἢ ης διὰ ι. Ἄδραστος, Ἀδραστίνη. Αἰήτης, Αἰητίνη. Τὰ δὲ ἔχοντα ἀρσενικὸν τὴν ἐκείνου φυλάττει γραφήν. δῖνος, δίνη διὰ ι. οἶνος, οἴνη τῇ οι. Τὰ δὲ ῥηματικὰ, ὡς τὸ ῥῆμα. κλίνω μὲν γὰρ κλίνη, καὶ ὑπομίμνω ὑσμίνη διὰ ι, εὐθύνω δὲ εὐθύνη τῷ υ. ἀλλὰ ἢ τῷ η, εἰρήνη, σελήνη. Τὸ δ' ἀξίνη καὶ τὸ ἀπὸ τοῦ ἄξω ἐοικὸς εἶναι διὰ ι γράφεται. καὶ κορύνη, καὶ ὀδύνη διὰ υ. Ἔτι τὰ εἰς στος, καὶ εἰς σθος ἁπλᾶ ὑπερδισύλλαβα ὀξύτονα, καὶ βαρύτονα τῷ ι. ὀϊστὸς, βέλτιστος, ὄλισθος. πλὴν τῶν παθητικῶν, ταῦτα γὰρ τὸ τοῦ ἰδίου ῥήματος φυλάττει ἀντίστοιχον, οἷον ἄνυστον. Ἔτι τὰ εἰς ιτης, πολίτης. πλὴν τῶν ἀπὸ τῶν εἰς ω περισπωμένων. καὶ τῶν ἀπὸ τῶν τῷ η ἢ ληγόντων, ἢ κλινομένων θηλυκῶν. καὶ τῶν ἀπὸ τῶν εἰς ος ἀρσενικῶν, ἢ θηλυκῶν, καὶ πλὴν τῶν ἀπὸ τοῦ ῥέω. κυβερνῶ μὲν γὰρ κυβερνήτης, καὶ σφενδόνη σφενδονήτης διὰ η. πλὴν τοῦ τεχνίτης, καὶ φυλακίτης διὰ ι. ὄρος ἢ ὄρεος ὀρείτης, καὶ ῥέω βαθυρρείτης τῇ ει. ὁδὸς δὲ ὁδοίτης,

ὁ ὄρος ὁροίτης τῇ οι. Ἐξαιρείσθω καὶ τὰ ἀπὸ τῶν εἰς δα προπαροξυτόνων, Σαμάρεδα, Σαμαρείτης τῇ ει. ὡς γὰρ ἐπὶ καθόλου εἰπεῖν τὰ εἰς ιτης παράγωγα τὴν τῆς ἰδίας ἀρχῆς φυλάττει γραφήν. οἷον Αἴγινα, Αἰγινήτης. πρέσβυς, πρεσβύτης. κεκυβέρνηται, κυβερνήτης. τέθυται, θύτης. τοιοῦτο δὲ καὶ τὸ ὁδοίτης, ὁ ὁροίτης, ἀπὸ γὰρ τοῦ ὁδός, καὶ ὄρος ἡ τῆς διφθόγγου ἀρχή. Καὶ τὰ εἰς ιτος δὲ εἴτε ὀξύτονα, εἴτε βαρύτονα τὴν γραφὴν τῶν ἀφ᾽ ὧν παράγεται, φυλάττει. προσίεται, πρόσιτος. Ἀφροδίτη, Ἐπαφρόδιτος διὰ ι. ἠρίθμηται, ἀρίθμητος. ἐστύγηται, στυγητὸς διὰ η. κέκλειται, κλειτὸς τῇ ει. ὥσπερ καὶ τὰ εἰς ις παράγωγα, χάρις, χαρίεις. τιμὴ, τιμήεις. Καὶ τὰ εἰς μος ὀξύτονα, λογίζομαι, λογισμός. προπηλακίζω, προπηλακισμὸς διὰ ι. δανείζω, δανεισμὸς τῇ ει. κέχρησμαι, χρησμὸς διὰ η. Ἔτι τὰ ἀπὸ τοῦ ἀρι, ἢ ἐρι σύνθετα διὰ ι. ἀρίγνωστος, ἐρίδοξος. Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων συγκείμενα, οἰδῶ, Οἰδίπους. Καὶ τὸ ο δὲ τοῦ ὕψος ἐν συνθέσει τῶν ἀπὸ συμφώνων ἀρχομένων τρέπεται εἰς ι, ὕψιστος, ὑψίκερως. Ἔτι τὰ ἐκ τοῦ ἅλς, ἁλίπλοον. Ἔτι τὰ ἐκ τοῦ ἀγχοῦ, ἀγχίνοια, ἀγχιστεὺς, ἀγχίθυρος. Ἔτι τὰ ἐκ τοῦ καλὸν, καλλίπλουν. Ἔτι τὰ ἀπὸ τῶν εἰς ος εἰς ιτης. ζεῦγος, ζευγίτης. θρᾶνος, θρανίτης. Ἔτι τὰ ἀπὸ τοῦ ἀρχὸς, Ἀρχίδαμος. Ἐξαιρείσθω τὰ ἐκ τοῦ ἄγω, διὰ γὰρ η. καθόλου γὰρ ἐπὶ τὰ ἐκ τοῦ ἄγω διὰ η, στρατηγὸς, ὁδηγός. Ὡς ἁπλῶς οὖν εἰπεῖν, ὧν ἡ ἀρχὴ χρηματικὴ τί τῶν εἰς ος, ταῦτα κατὰ μεταβολὴν τοῦ ο εἰς ι ὀρθογραφεῖται. Ἔτι τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ τὸ ι, ἢ τὸ υ, διὰ τοῦ ι ἔχει τὴν πρώτην ὡς ἐπὶ τὸ πλεῖστον. Ἶρις, Ἶσις, δριμὺς, βριθὺς, πίτυς.

Quæ per ι.

Iota autem habent in α acuta, & penacuta fœminina. loquela, cor. præter gena, ligula, ſanitas, & annonæ penuria per ει. ulna per υι. & præter ea quæ ueniunt à uerbis in ευω, ſupplicatio. Item in ιας acuta fœminina, myrias. præter pubertas, & columba per ει. Rurſum in ιος acuta, & antepenacuta. Aeſculapius, dignus. Item in ιον, & in ιος grauia pluſquamdiſyllaba. libellus,

literula, Axius. præter nomina poſſeſſiua, & contentiua, & materialia. & præter diues per ει, & graculus per οι. amabilis, & iuuenis ex paſſione per η. Excipiantur & deducta à nominibus per εος declinatis, Herculeus per ει. & rete, cucumis per υ ſcripta, & nauis per οι. Nomina item in ιων comparatiua polyſyllaba, melior. præter melior, deterior per ει. Rurſum à deſinentibus in α, & in η, & in ος nominibus diminutiua in ιδιον. pars, particula. lectus, lectulus, inſula, inſulula. præter terra, agellus, terra enim per η. Atque in ιδης patronymica incontracta, Priamides, Peleides. ſic uero & patruelis, & ex filia nepos, & his ſimilia. Præterea in κος poſſeſſiua, præter Euboicus, Decelicus, Daricus per ει. & fœmininum, Lybicum per υ. Item in ιλος penacuta, uarius, nauta. Rurſum quæ in ευς, ut Achilles, rex. præter Peleus, Neleus per η. Præterea in ιμος antepenacute, præter eremus. & quæ à figura, & ſignum, & populus, & fama componuntur, multiformis, inſignis, popularis, famigeratus per η. & præter geminus, ſcolymus, uerus, & ea quæ ſunt à nomen compoſita, cognominis per υ, & præter paratus per οι. Porrò in ινος acuta, temporiſque, & horæ ſignificatiua. æſtiuus, hibernus, diurnus. his autem cõſimile & gracilis, & fugax, & quæ grauiſona ſunt pariter, paſſer, echinus, Agrigentinus, ligneus. Alioqui uero denominatiua per ει, miſerabilis, lucidus. Nominum autem in ινη quæ fiunt à terminatis in ος, uel ης per ι. Adraſtus, Adraſtine. Aetes, Aeetine. quæ uero habent maſculinum, illius ſeruant ſcripturam. turbo, uertigo per ι. uinum, uitis per οι. At uerbalia, ut uerbum. nempe inclino lectus, & ſuſtineo pugna per ι, dirigo uero directio per υ. Cæterum alia per η, pax, luna. ſecuris uero quanquam ab agam par eſt deduci, per ι ſcribitur. & claua, dolor per υ. Rurſum in τος, & in δος ſimplicia pluſquam diſyllaba acuta, & grauiſona per ι. ſagitta, optimus, lubricus. præter accepta paſſiue, hæc enim ſui uerbi ſeruant literam conſimilem, ut expeditus. Itẽ nomina in ιτης, ciuis. prệter uenientia à uerbis

in ω

in ω circunflexis, & à nominibus per η uel deſinentibus, uel declinatis fœmininis. Item ab in ος maſculinis, uel fœmininis. & pręter ea quę à fluo. guberno enim gubernator facit, & funda funditor per η. exceptis artifex, & cuſtos per ι. mons uero montis, & montanus. & fluo, profunde fluens per ει. uia item uiator, & finis finitor per οι. Excipiantur & quæ ab in εια antepenacutis fiunt, Samaria, Samarites per ει. Siquidem ut ſummatim dicam, nomina in ιτης deriuatiua ſui primitiui ſeruant ſcripturam. ut Aegine, Aeginetes. ſenex, ſenex. rectus eſt, gubernator. ſacrificatus eſt, ſacerdos. Tale uero quippiam & uiator, & finitor. habent enim à uia, & finis diphthongi initium. Quinetiam in ιδος ſiue acuta, ſiue grauia, ſcripturam eorum à quibus deducuntur, ſeruãt. ut ab accedit, acceſſus, Venus uenuſtus per ι. numeratus eſt numerabilis, oſus eſt odibilis per η. laudatus eſt, celebris per ει. ut & nomina in εις deriuatiua, ut à gratia gratioſus, honor honorabilis. Atq; in μος acuta, ratiocinor ratiocinatio, uitupero uituperium per ι. fœneror, fœnus per ει, uaticinor uaticinium per η. Pręterea ab αρι, & ερι cõpoſita per ι. multum notus, multum clarus. Item ex uerbis in ω compoſita, tumeo, Oedipus. uerum ο dictionis altitudo in compoſitione à conſonantibus incipentium mutatur in ι, prælatus, alticornis. Item in his quæ ex maris, ut mare nauigans. Rurſum quæ ex propè, induſtria, propinquus, proximus ianuæ. Et quæ à bonum, bene nauigans. Rurſum quæ ab in ος fiunt in ιτης, iugum, iugalis, tranſtrum, remex. Præterea à princeps, Archidamus. Excipiantur quæ ab ago, nam per η. uniuerſaliter enim quæ à duce per η ſcribunt, dux uiæ. Vt ſimpliciter igitur dicam, quorum principium formatiuũ eſt quodammodo in ος, hæc per mutationem ο in ι recte ſcribuntur. Cæterum quæ ancipitia ſunt in prima ſyllaba, habentia quidem in ſecunda ι, uel υ, per ι habent primam in pleriſq;. ueluti Iris, Iſis. acerbus, grauis, pinus.

Ὅσα τῷ ει.

cta ſunt impediat. Σπαι per αι, trepidare. Σπι ante θ, & λ, & ν ſcribitur per ι, præter ſpelæum per η. ante uerò ρ, uel σ per ει, præter ſporta per υ. Σπο per ο paruum, ſementis. Στε per ε, præter paſta. media ε, ſtipes. Στε ante β, ſtipare per ει, ſtœba per οι, torus per ι. Στο per ο paruum, præter Stoicus, facundus, & inceſſo, quorum media υ. Item ante χ, ire per ει, ordo per οι, uerſus per ι. ante uerò γ, uel ξ, uel π, uel ρ per υ. odi, Styx, ſtuppa, ſtyrax. Item ante ζ per ι, pungere, unde punctum. Etiam ante λβ biconſonam, fulgur. Item ante φ, acies. præter euertere, & obſtruere per υ. uerum ante λ per η, columna, præter columna per υ. Στρυ per υ, acerbum. Στρε per ε, media ipſum ε, lucem auferens. Στρο per ο paruum, media υ, rotundum. Στρι, ante quidem γ per ι, ſtringo. ante uerò ζ per υ, palpito, unde pulſus. Etiam ante ρ, malleus. at ante ν, & ξ per η. cuneus, ueſpa. Σφε per ε ſcribitur, præter ſphæra. Media ο paruum. Σφρυ per υ, uegetum eſſe. Σχε per ε, rude. Σχι, ante quidem ζ per ι, diuidere. ante uerò μ per η, figura. At ante υ, lentiſcus per ι, iuncus per οι. Σα autem, & σκα, & σφα media per ι, ſariſſa. præter ſapphirus per ει, & ſcalenum per η. & ε, ſphacelus. & ο paruum, mucro, præter ſcammonia.

Ἡ τε διὰ ε, πλὴν τοῦ ταινία, καὶ Ταίναρον. Μέσον τὸ ε, καὶ ι, τέρμινθος, τερετίζειν, πλὴν τῶν τερηδόνων διὰ η. Ἡ τι πρὸ τοῦ μὲν φωνήεντος διὰ ι, τίω. Ἔτι πρὸ τοῦ γ, πλὴν τοῦ τήγανον διὰ η. Ἔτι πρὸ τοῦ θ, τιθή. Μέσον μὲν τιθηνὸς διὰ η, μὲν τιθύμαλος τὸ υ. Ἔτι πρὸ τοῦ μ, πλὴν τοῦ τημελὲς διὰ η, καὶ τύμπανον τὸ υ, μέσον τὸ ε. Ἔτι πρὸ τοῦ ν, καὶ τ, πλὴν τοῦ τητῶμαι διὰ η, καὶ τυτθὸν τῷ υ. πρὸ δὲ τοῦ β, καὶ λ διὰ η, τήβεννος, τηκεδὼν, Τήλεφος, πλὴν τοῦ τίλλω διὰ ι, μέσον τὸ ε. πρὸ δὲ τοῦ π τῷ υ, τύπος. Ἔτι πρὸ τοῦ ρ, πλὴν τοῦ τηρεῖν τῷ η, καὶ τείρειν τῇ ει. Μέσον τὸ ι, Τηχιδάτης. φυλάττεται δὲ τοι τῶν εἰς ινος ὀξυτόνων ὁ σχηματισμός. Ἔτι πρὸ τοῦ φ, πλὴν τοῦ τίφη διὰ ι. πρὸ δὲ τοῦ χ, τεῖχος

τῇ ει. τοῖχος ἀρσενικῶς τῇ οι, τύχη διὰ υ, ὅθεν τὸ τυγχάνω. Ἡ τλη, ἢ τμη διὰ η. τλήμων, τμητόν. Ἡ τμω διὰ μεγάλου Τμῶλος. Ἡ το διὰ μικροῦ, πλὴν τοῦ τωθάζειν. Μέσον τὸ υ, τολύπη. καὶ τὸ μικρόν, τοξότης. Ἡ τρε διὰ ε, τρέχω. Ἡ τρι, πρὸ μὲν φωνήεντος διὰ ι, τριάς. Μέσον ἡ αι, τρίαινα. καὶ τὸ η, τριήρης. Ἔτι πρὸ τοῦ β, τρίβω, ὅθεν τὸ τρίμμα, πλὴν τοῦ τρυβλίον διὰ υ. Ἔτι πρὸ τοῦ χ, τρίχος, πλὴν τοῦ τρύχειν διὰ υ. Ἔτι πρὸ τοῦ γ, ἢ ζ, ἢ μ, ἢ φ διὰ υ. τρύγω, τρύζω, τρυμός, τρυφή. πρὸ δὲ τοῦ ρ, ἢ τ διὰ η, πλὴν τοῦ τρίτον διὰ ι. πρὸ δὲ τοῦ σ, τρὶς διὰ ι, τρεῖς τῇ ει. Ἡ τρο διὰ μικροῦ, πλὴν τοῦ τρώγειν, τρώγλη. Μέσον τὸ ι, τροχιλιά. Τῆς δὲ τα, καὶ τρα μέσον τὸ ι, τάριχος, πλὴν τοῦ τράχηλος διὰ η, καὶ ταμίας διὰ ι, καὶ ταπεινὸς τῇ ει.

T Τε per ε, præter uitta, & Tænarum. Media ε, & ι. terebinthus, fringultire, præter Teredon per η. Τι ante uocalem quidem per ι, honoro. Etiam ante γ, præter ſartago per η. Item ante θ, nutrix. Media in altrix eſt per η, in lactaria υ. Praeterea ante μ, præter diligens per η, & tympanum per υ, media eſt ε. Rurſum ante ν, & τ. præter careo per η, & citius per υ. Ante autẽ β, & κ, & λ per ν, toga, tabes, Telephus, præter uello per ι, media ε. ſed ante π per υ, forma. Etiam ante ϱ, præter ſeruare per η, & laborare per ει. Media ι, Teribates. obſeruetur autem in ινος acutorum formatio. Rurſum ante φ, præter tipha per ι. Ante uerò χ murus, per ει, paries maſculini geueris per οι, fortuna per υ, unde aſſequor. Τλη & τμη, per η. miſer, ſectile. Τμω per ω magnum, Tmolus. Το per ο paruum, præter mordere. Media υ, lana. & ο paruum, ſagittarius. τρε per ε, curro. τρι ante uocalem per ι, trinitas. Media αι, fuſcina. & η triremis. Praeterea ante β, tero, unde intritio, præter catinus per υ. Rurſum ante χ, crinis, excepto uexare per υ. Item ante γ, aut ζ, aut μ, aut φ per υ. uindemio, ſtrido, attritus, deliciæ. Ante uerò ρ, uel τ per η, præter tertium per ι. Rurſum ante σ, ter per ι, tres per ει. Τρο per ο paruum, præter rodere, foramen.

Media

Media eſt ι, rota. Cæterum τα, & τρα media eſt ι, condimentum. exceptis collum per η, & quæſtor per ι, & humilis per ει.

Η φε διὰ τοῦ ε, πλὴν τοῦ φαιὸν, φαιδρὸν, φαίνω. Η φυ πρὸ μὲν φωνήεντος τῷ υ, φύω, ὅθεν τὸ φῦμα, πλὴν τοῦ φιάλη τῷ ι. Ἔτι πρὸ τοῦ γ, πλὴν τοῦ φηγὸς τῷ η. Ἔτι πρὸ τοῦ κ, φύκος. Ἔτι πρὸ τοῦ λ, πλὴν τοῦ φίλος, καὶ φίλυρα διὰ ι. Ἔτι πρὸ τοῦ ρ, φύρειν. Ἔτι πρὸ τοῦ σ, φύσις, φυσᾶν. πρὸ δὲ τοῦ β τῇ οι, Φοῖβος, πλὴν τοῦ φιβάλις. Ἔτι πρὸ τοῦ ν, Φοῖνιξ. πρὸ δὲ τοῦ δ τῇ ει, φείδομαι. πρὸ δὲ τοῦ μ τῷ η, φήμη, πλὴν τοῦ φιμός. πρὸ δὲ τοῦ τ, φυτὸν τῷ υ, ὅθεν τὸ φυτεύειν. καὶ φοιτᾶν τῇ οι, ὅθεν τὸ φοιτητής. τὰ δὲ λοιπὰ τῷ ι, φιτρὸς, φιτύω. Η φθι πρὸ μὲν φωνήεντος διὰ ι, Φθία. Ἔτι πρὸ τοῦ ν, φθίνω. πρὸ δὲ τοῦ ρ τῇ ει, φθείρω Η φθο διὰ μικροῦ, φθορά. Η φλε διὰ ε, φλέγω. Η φλυ πρὸ μὲν φωνήεντος διὰ υ, πλὴν τοῦ φλοιὰ διὰ ι, καὶ φλοιὸς τῇ οι. Ἔτι πρὸ τοῦ κ, φλυκταῖνα. πρὸ δὲ τοῦ ν τῷ η, φλήναφος. πρὸ δὲ τοῦ σ τῇ οι, φλοῖσβος. Η φλο τῷ μικρῷ, φλόξ. Ἔτι ἡ φο διὰ μικροῦ, πλὴν τοῦ φῶς, φώκη, φωλεὸς, φωνὴ, φὼρ, φωριαμός. Μέσον τὸ ι, πλὴν τοῦ φορυτὸς τῶν φρυγάνων διὰ υ. Η φρη πρὸ μὲν τοῦ ν, φρὴν διὰ η, φρῦνος διὰ υ. Μέσον τὸ ι, Φρύνιχος. πρὸ δὲ τοῦ κ μονοσυμφώνως διὰ ι, φρίκη. Ἔτι πρὸ τοῦ μ, καὶ σ, καὶ τ. φριμάσσεσθαι, φρίσσειν. Τὰ δὲ λοιπὰ διὰ υ, φρύγανον, φρυκτός. Μέσον τὸ ι, φρυγίλος. Η φρο διὰ μικροῦ, φρόνιμος. Τοῖς δὲ φα μέσον τὸ ε, Φαέθων, φανερόν.

Φε per ε, præter fuſcum, clarum, luceo. Φυ ante uocalem quidem per υ, procreo, unde tuber. præter phiala per ι. Etiã ante γ, præter fagus per η. Item ante κ, fucus. Rurſum ante λ, præter amicus, & Philyra per ι. Porrò ante ρ, miſcere. Iam & ante σ, natura, inflare. ante β tamen per οι, Phœbus, præter carica. Et ante ν, phœnix. Præterea ante δ, per ει, parco. at ante μ per η, fama. præter frenum. Ante etiam τ, planta, per υ, unde plantare. & operam alicui dare per οι, unde diſcipulus. Reliqua autem per ι, truncus, gigno. φθι ante uocalem quidem per ι, Phthia. Item ante ν, tabeſco uerum ante ρ per ει, corrumpo. Φθο per ο paruum, corruptio.

 Φ.

Φλι per ι, exuro. Φλυ ante uocalem per υ, prĕter ι, & cortex, per οι. Prӕterea ante κ, puſtula. ante uero ν, per η, nugæ. Cæterum ante σ, per οι, fluctus. φλο per ο paruum, flamma. φο item per ο paruum, prӕter lumen, phoca, latebra, uox, fur, arca. media ι, prӕter faſciculus ex ſarmentis per υ. Φρ ante quidē ε, mēs, per η, rubeta per υ. Media ι Phrynichus. Iam uero ante κ uniconſone per ι, frigus. Etiam ante μ, & σ, & τ. fremere, horrere. Reliqua autem per υ, ſarmentum, fax. Media ι phrygilus. φρο per ο paruum, prudens. Φα autē media eſt ε, Phaëthon, manifeſtum.

Ἡ χε τῷ ε, πλὴν τοῦ χαίρειν, καὶ χαίτη. Μέσον τὸ ι, χελιδών. πλὴν τοῦ χελύνη καὶ τὸ μέγα χαιρώνεια, χελώνη. Ἡ χει πρὸ μὲν τοῦ α τῇ ει, χειά. Ἔτι πρὸ τοῦ λ, πλὴν τοῦ χηλὴ διὰ η, καὶ χυλὸς τῷ υ. καὶ χιλός, καὶ χίλια διὰ ι. Ἔτι πρὸ τοῦ μ, πλὴν τοῦ χίμετλα διὰ ι. πρὸ δὲ τοῦ δ τῷ υ, χύδην. πρὸ δὲ τοῦ τ μονοσυμφώνως μὲν διὰ ι, χιτών. δισυμφώνως δὲ τῷ υ, χύτρα, χύτλον. Ἡ χθε τῷ ε, χθές. Ἡ χθω τῷ μεγάλῳ μὲν ἐπ' εὐθείας, χθών. τῷ μικρῷ δὲ ἐπὶ γενικῆς, χθονός, ὅθεν τὸ χθόνιος. Ἡ χλι διὰ ι, χλίδος. Ἡ χλο τῷ μικρῷ, πλὴν τοῦ χλωρόν. Ἔτι ἡ χνο διὰ μικροῦ, χνόη. Ἔτι ἡ χο τῷ μικρῷ, πλὴν τοῦ ῦ χωλός. χώρα, χῶμα. Ἡ χρε τῷ ε, χρεμετίζειν. Ἡ χρη μόνη τῷ η, χρή. πρὸ δὲ τοῦ α, χρεία τῇ ει, χροιὰ ὀξυτόνως τῇ οι. πρὸ δὲ ἑτέρου φωνήεντος τῷ ι, χρίω, ὅθεν τὸ Χριστός. πρὸ δὲ τοῦ μ, καὶ σ τῷ η, πλὴν τοῦ χρυσὸς διὰ υ. Ἡ χρο διὰ μικροῦ, πλὴν τοῦ χρῶμα, καὶ χρώς. Τῆς δὲ χα μέσον ι, χαλινός, πλὴν τοῦ Χάρυβδις διὰ υ.

X. Χε per ε, prӕter gaudere, & coma. Media per ι, ut hirundo, prĕter labrum per υ. & per ω magnum, Cheronea, teſtudo. χει ante quidem α per ει, luſtrum. Item ante λ, prӕter ungula per η, & ſuccus per υ, cibus & mille per ι. Prӕterea ante μ, prӕter perniones per ι. ante uero δ per υ, fuſim. Verum ante τ, uniconſone quidem per ι, tunica. biconſone uero per υ, olla, pila. χθε per ε, heri. χθω per ω magnū quidē in recto, terra. at per ο paruū in genitiuo, terrӕ, unde terreſtris. Χλι per ι, colluuies. Χλο per ο paruū, prӕter uiride. Et χνο per ο paruū, modiolus. Et χο per ο paruum, prӕter claudus,

dus, regio, agger. Χερ per ε, ſcreare. χερ ſeorſim poſita per η, oportet. Ante uero α, uſus, per ω. color acute per οι. Sed ante aliam uocalem per ι, ungo, unde unctus. Verũ ante μ, & σ, per η, præter aurum per υ. χο per ο paruum, præter color, & corpus. Χα aũt media ι, frenum. prẹter Charybdis per υ.

H ψε τῷ ε, πλὴν τοῦ ψαίρειν. H ψι πρὸ μὲν τοῦ α, καὶ διὰ ι. ψίαθος, ψιθυρίζειν. πλὴν τοῦ ψοίθης τῷ οι. Μέσον τὸ υ. ψιθύρισμα. Ἔτι πρὸ τοῦ λ, ψιλός. πλὴν τοῦ ψηλαφᾶν διὰ η. καὶ ψύλλα τῷ υ. Ἔτι πρὸ τοῦ ν, ψινὰς, πλὴν τοῦ ψὴν διὰ η. πρὸ δὲ τοῦ γ, διὰ η, ψήχειν, ὅθεν τὸ ψῆγμα, καὶ ψῆκτρον. Ἔτι πρὸ τοῦ φ, ψῆφος. πρὸ δὲ τοῦ κ, ἢ χ διὰ υ. ψυκτὴρ, ψυχρόν. H ψο διὰ μικροῦ, ψολόεις. πλὴν τοῦ ψώθιον, ψωλὸς, ψωνός, ψώρα, ψώχω. Καὶ τὸ ψα δὲ μέσον τὸ υ, ψαθυρόν. Καὶ τὸ α δὲ μέσον τὸ ε. ἀετὸς, ἀγέλη, Ἄρτεμις. πλὴν τῶν ἀραιός, ἀκραιφνὴς, ἀπαίρω, Ἀχαιός, ἀσκαίρα. Καὶ τὸ η σὺν βδη, ἄβδηρα. Ἔτι σὺν βλη, ἀβληχρόν. Ἔτι σὺν θη, ἀθηνᾶ. πλὴν τοῦ ἀθύρω τῷ υ. Ἔτι σὺν δη, ἀδημονῶ. Ἔτι σὺν θρη, ἀθρήνη. πλὴν τῶν ἀθριβὴς τῷ ι, καὶ ἀθροίζω τῷ οι. Ἔτι σὺν λη, ἀλήτης. πλὴν τῶν ἀλείφω τῇ ει, καὶ ἀλύω, ἀλύσσω τῷ υ. Ἔτι σὺν πη, ἀπηνής. Ἔτι σὺν σκλη, ἀσκληπιός. Ἔτι σὺν τη, ἀτήλας. Ἔτι σὺν χθη, ἀχθηδών. Ἔτι σὺν γη, ἀλγηδών. πλὴν τοῦ ἀλγύνω τῷ υ, καὶ ἀλγεινὸς τῇ ει. Ἐν δὲ ἀρβηλα η. Ἐν βρι διὰ ι, ἀβρικὲς, πλὴν τοῦ ἀβρύνω τῷ υ. Ἔτι σὺν γι, ἅγιον, πλὴν τοῦ ἀγήλω τῷ η, καὶ ἀγυιὰ τῷ υι, καὶ ἀγύρτης, ἄργυρος τῷ υ, καὶ ἀγείρω τῇ ει. Ἔτι σὺν γνι, εἰ μὴ ἀπὸ τοῦ ενω. Ἔτι σὺν γρι, ἄγριον. πλὴν τοῦ ἀγρείφνη τῇ ει, καὶ ἀγροίλη, ἀγροιώτης τῷ οι. Ἔτι σὺν δρι, ἀδριας. πλὴν τοῦ ἀδρύνω διὰ υ, καὶ ἀνδρεῖος τῇ ει. Ἔτι καθ᾽ αὑτὸ, ἀΐω, πλὴν τοῦ ἀηδὼν τῷ η. Ἔτι σὺν κι, ἀκιδνόν. πλὴν τοῦ ἄγκυρα, ἀγκύλον, ἄκυλον, ἀλκυὼν τῷ υ, καὶ ἄλκησις τῷ η. Ἔτι σὺν κρι, ἀκριβής. Ἔτι σὺν νι, ἀνιῶ, πλὴν τοῦ ἀνύω τῷ υ. Ἔτι σὺν ξι, ἀξιῶ. Ἔτι σὺν ρι, ἀριθμός. πλὴν τοῦ ἀρήγω τῷ η, καὶ ἀρύτομαι τῷ υ. Ἔτι σὺν σι, Ἀσιώνη. Ἔτι σὺν χι, Ἀχιλλεὺς, πλὴν τοῦ ἄχυρα τῷ υ. Ἔτι σὺν ψι, Ἀψίνης, πλὴν τοῦ ἄψυρδος τῷ υ. Ἔτι σὺν φι, ἄλφιτα. πλὴν τοῦ ἀλφεὸς τῇ ει καὶ ἀλφηστὴς τῷ η, καὶ ἀφύη, ἀφύσσω τῷ υ. Ἔτι σὺν ζι, ἄρζιον. Ἐν δὲ μυ τῷ υ, ἀμύνω. πλὴν τοῦ ἀμείβω τῇ ει, καὶ ἄμηδος τῷ η, καὶ ἅμιλλα τῷ ι.

Ἔτι γοῦν χρυ, ἀχρυλλίς. Ἔτι γοῦν βυ Ἄβυδος, πλὴν τοῦ Ἀβίγας διὰ τοῦ ι. καὶ ἄρβηλα διὰ τοῦ η. Ἔτι γοῦν μὲν βω, τὸ μέγα, ἀβώρας. Ἔτι γοῦν γω, ἀγωγὴ, πλὴν τοῦ ἀγορὰ, καὶ ἀγοσός. Ἔτι γοῦν γρω, πλὴν τοῦ ἀγράτης. Ἔτι γοῦν δω, ἄδωνις. Ἔτι γοῦν βλω, ἀβλώσκω. Ἔτι γοῦν πω, ἄμπωτις. Ἔτι γοῦν θρω, ἄνθρωπος. Ἔτι γοῦν σκω, ἀσκωλιάζειν. Ἔτι γοῦν σω, Ἀσωπός. Ἔτι γοῦν βρο, τὸ μικρόν, ἀβρότονον. Ἔτι γοῦν κο, ἀκόνη, πλὴν τοῦ ἀκωκή. Ἔτι γοῦν κρο, ἀκροάτης, πλὴν τοῦ ἀκρωτήριον. Ἔτι γοῦν ἀλω̃, πλὴν τοῦ ἀλώπηξ. Ἔτι γοῦν μο, ἁρμόττω, πλὴν τοῦ ἀμώριον. Ἔτι γοῦν ρο, ἄροτρον, πλὴν τοῦ ἄρωμα. Ἔτι γοῦν σφο, ἀσφόδελος. Ἔτι γοῦν φρο, Ἀφροδίτη. Τὰ μὲν οὖν πρῶτα, ἁπλᾶ ἐστὶν οὕτω ληπτέον, τὰ δ᾽ ἐκ τούτων οὐ χαλεπὸν δὴ ἐτυμολογοῦντας ὀρθογραφεῖν. οἷον πολύδωρος, ἡ μὲν λυ διὰ τοῦ υ, ἡ δὲ δω, διὰ μεγάλου, ὅτι ἐκ τοῦ πολὺ καὶ τοῦ δῶρον. Καὶ συμφέρειν ἡ μὲν συμ διὰ τοῦ υ, ἡ δὲ φε τῷ ε, ὅτι ἐκ τῆς σύν, καὶ τοῦ φέρω. Καὶ ψηφίζομαι διὰ τοῦ η, ὅτι ἀπὸ τοῦ ψῆφος. καὶ ψήφισμα ἔτι διὰ τοῦ ι, ὅτι ἀπὸ τοῦ ψηφίζομαι.

Ψ. Ψε per ε, præter accelerare. ψι ante α quidem, & θ, per ε, teges, ſuſurrare, præter inſolens per οι. Media θ, ſuſurrus. Item ante λ, tenuis, præter contrectare per η, & duplex per υ Et ante ν, uitis decidua, præter culex per η. Ante uero γ, per υ, radere, unde ramentum, & ſtrigilis. Item ante φ, ſuffragium. at ante κ, uel χ, per υ, peluis, frigidum. ψα per ω paruum, fumoſus. præter imum panis, apella, buccellus, ſcabies, confrico. & ψα quidem media υ, fragile. Et α media ε, aquila, armentum, Diana. præter rarus, purus, palpito, Achiuus, aſcæra. Item η in βδη, Abdera. & in βλη, molle. Rurſum in θη, Minerua, præter ludo per υ. Præterea in δη, angor. In θρη etiam, athrena, præter Athribes per ι, & congrego per οι. Etiam in λη, mendicus. præter ungo per ει, & mœreo, reo per υ. Item in πη, ſæuus. & in σκλη, Aeſculapius. Rurſum in τη, Atelas, & in χθη, dolor, & in γη, dolor. præter triſtifico per υ, & anxius per ει. Cæterum in arbela per η In βρι uero per ι, uerax. præter illuſtro per υ. Item in γι, ſanctum. præter ueneror per η, & uia per υι, & circulator, argentum per υ, & congrego per ει. Item ante γνι, niſi à uerbis

uerbis in ευω. Item in γρι, agreſte. præter furcilla per ς,& agrœle, agricola per οι. Rurſum in δρι, Adrianus, præter creſco per υ, uirilis per ς. Etiam per ſeipſum, audio, præter luſcinia per η. Item in κι, tenue, præter anchora, curuum, glans, alcyon per υ, & Alceſtis per η. Porrò in ꝟρι, exactus. Item in νι, ango, præter perficio per υ. Etiam in ξι, dignor. Item in ρι, numerus. præter adiuuo per η,& haurio per υ. Item in σι, Aſione. Item in χι, Achilles, præter paleæ per υ. Item in ψι, Apſines. præter apſyrtus per υ. Rurſum in φι, farinæ. præter alpheus per ς, & induſtrius per η,& apua, haurio per υ. Etiam in τι, æquale. In μυ uero per υ, adiuuo. præter permuto per ει,& meſſis per η, & certamē per ι. Item in χρυ, achryllis. Item in βυ, abydus, præter abigas per ι,& Arbela per η. Itē in βω per ω magnum, Aboras. Rurſum in γω, educatio, præter forum, & uola. Item in γρω, præter ruſticitas. Item in δω, Adonis. Etiam in βρω, ſerpo. Item in πω, æſtus. Itē in βρω, homo. Item in σκω, per utrem ſaltare. In σω, aſopus. Item in βρο ο paruum, abrotanum. Rurſum in κο, cos, præter cuſpis. Item in κρο, auditor, præter promontorium. Item in λο, capio, excepto uulpes. Et in μο, conuenio, præter Amorium. Rurſum in ρο, aratrum, prȩter ſuffimentum. Item in σφο, ferula. Etiam in φρο, Venus. Prima igitur, & ſimplicia ſic ſumere oportet, quæ uero ſunt ex his, facilis eſt originem ſequentibus recte ſcribere. ut Polydorus ly ſcribitur quidem per υ, δω uero per ω magnum, quod ex multum, & donum. & conferre nempe συμ per υ, φε uero per ε, quod ex con, & fero componitur. Item ſuffragor per η, quod à ſuffragium, & decretum etiam per ι, quia à decerno. *Etymologiæ ratio.*

ΣΥΜΦΩΝΩΝ ΔΙΠΛΑΣΙΑΣΜΟΣ.

Κοινὸν δὲ ἄρα ὀρθογραφίας περὶ καὶ ὁ τῶν συμφώνων διπλασιασμός, διπλασιάζεται γὰρ ἐπ' ἐνίων τά τε μέσα, καὶ τὰ ψιλά, καὶ τὰ ἀμετάβολα, καὶ τὸ σ. οἷον κάββαλον, ἄγγελος, ἄδδην, κόκκος, ἵππος, Ἀττικός, ἄλλος.

συμμορία, θύννος, πόῤῥω, θάλασσα. διπλοῦν δὲ, ἢ δασὺ οὐδέποτε. γίνεται δὲ τοῦτο ἢ διὰ τὸ εὐφωνότερον, οἷον τὸ ἀλλὰ, καὶ πίννα, καὶ ἄμμος, καὶ ἵππος, καὶ τὰ τοιαῦτα. ἢ τοῦ μακροῦ χάριν, οἷον ψάλλω, στέλλω. ἢ κατὰ συμπάθειαν καὶ μεταβολὴν. οἷον ἐγγύη. Τὸ γάρ τοι ν, οὔτε πρὸ τοῦ γ, ἢ κ, ἢ χ, ἢ ξ σώζεται συντιθέμενον, ἀλλὰ τρέπεται εἰς τὸ γ. οἷον ἐγγύη, ἐγκέφαλος, συγχέω, συγξενίζω. Οὔτε πρὸ τοῦ β, ἢ π, ἢ φ, ἢ ψ, ἢ μ, ἀλλ' εἰς τὸ μ μεταβάλλει. οἷον σύμβουλος, συμπότης, σύμφωνος, σύμψηφος, σύμμαχος. Οὔτε μὴν πρὸ τοῦ λ, ἢ ρ, ἢ σ, ἀλλ' εἰς τὸ ἑπόμενον αὐτὸ τρέπεται. συλλαβὴ, σύῤῥους, σύσσιτος. Ὅθεν δὴ καὶ τὰ ἀπὸ τῶν εἰς εις ἀρσενικῶν θηλυκὰ εἰς σσα τῷ διπλῷ γράφεται σσ. χαρίεις, χαρίεσσα, ἀπὸ γὰρ τοῦ χαρίεντος, μεταβάλλοντος μὲν δὴ τοῦ ν, ὡς εἴρηται. Τό, τε γ διπλασιάζεσθαι συμβαίνει, καὶ τὸ μ, καὶ λ, καὶ ρ, καὶ σ. αὐτὸ δὲ τὸ ν ἔν τε τῇ συνθέσει συμβαίνει διπλασιάζεσθαι, τῆς συλλαβῆς ἀπὸ τοῦ αὐτοῦ ἀρχομένης. ἔννοια, σύννους. Καὶ ἄλλως ἐπὶ τῶν εἰς νω παραγομένων ἀπὸ τῶν εἰς νω καθαρῶν ῥημάτων. τίνω, τιννύω. κἀντεῦθεν καὶ ἐπὶ τῶν εἰς μι φυλασσομένων, τίννυμι. Τοὐναντίον δὲ συμβαίνει ἐκλείπειν ν ἐν ταῖς συνθέσεσι παντελῶς ἐφ' ὧν στ ἕπεται. συστέλλω, σύστημα, συστοιχία. Τὸ δὲ λ διπλοῦν ἐστὶν ἐπὶ τῶν τεταρτοζύγων μὴ μακρᾷ φύσει παραληγόντων. οἷον θάλλω, ποικίλλω, βδύλλω, ἀνατέλλω, ὄλλω. πλὴν τοῦ θέλω, καὶ πέλω. Τὸ δὲ μ, καὶ μεταβολῇ τοῦ β διπλασιάζεται, οἷον ἐπὶ τῶν πρωτοζύγων. γέγραμμαι, τέτυμμαι. Τὸ δὲ ρ καὶ μεταβολῇ τοῦ σ διπλασιάζεται, διὰ τὸ συγγενὲς δηλονότι καὶ τοῦτο. πυρσὸν, πυῤῥόν. πόρσω, πόῤῥω. Καθόλου δὲ καὶ ὅταν ἀρχόμενον λέξεως συντεθῇ τοῖς λήγουσιν εἰς φωνῆεν, ῥῆμα, ἐπίῤῥημα. ῥῆσις, ἀνάῤῥησις. ῥάστος, ἄῤῥωστος. οἷον πως καὶ τὸ αὐξήσει γινόμενον συλλαβικῇ, ῥίπτω, ἔῤῥιπτον. ἐξαιρεῖσθω τὰ ἐκ τοῦ εὐ, εὔρωστος. τὸ δὲ ἀμφιρύτη, καὶ ἄρεκτον, διὰ τὸ μέτρον οὐκ ἀπείληφε τὸ διπλοῦν. Τὸ δέ γε σ διπλοῦν καὶ ἐπὶ τῶν εἰς σσα θηλυκῶν, ἐθνικῶν, Κίλισσα, Λίβυσσα, Θρᾷσσα, Μάγνησσα. καὶ ἐπὶ τῆς Ἰωνικῆς δοτικῆς τῶν πεμπτοκλίτων πάντεσσι, θήρεσσι. καὶ τοῦ τοῖς Ἀττικοῖς εἰς τὸ διττὸν μεταποιουμένων ττ, γλῶσσα, γλῶττα.

γλῶττα. διστόν, διττόν. ὀρύσσω, ὀρύττω. εὐλογώτερον μὲν οὖν ἐπὶ τοῦ ὀρύττω, καὶ τῶν ὁμοίων τὸ γράφειν, ὀρύσσω; καθάπερ κἀν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων ὁρῶμεν. Οὐκ ἔξω δὲ καὶ τούτων οὐδὲ οἱ τῶν ποιητῶν διὰ τὸ μέτρον διπλασιασμοί, τὰ γὰρ ἀπὸ τοῦ δ, ἢ σ, ἢ τούτων ἀμεταβόλων ἀρχόμενα ῥήματα διπλασιάζουσι κλινόμενα εἰς παρατατικόν, καὶ ἀόριστον. οἷον ἔδδεισεν, ἔσσυτο, ἔλλαχεν, ἔμμορεν, ἔνναιεν, τὸ δ' ἔρρεεν κοινόν. Κἀπὶ τῶν ὀνομάτων δὲ τά τε ἀμετάβολα, καὶ τὸ σ. ἄλληκτον, ἐννοσίγαιος, παραλίη, μέσσον. Καὶ μὴν ἐπὶ τῶν τριχζύγων μελλόντων καὶ ἀορίστων. οἷον σβέσσω, ἔσβεσσα. γελάσσω, ἐγέλασσα. Τὸ δὲ κάββαλεν, καὶ κάππεσεν, καὶ τὰ τοιαῦτα οὐχ ἕνεκα μέτρου διπλασιάζεται ἀλλὰ τοῦ τ, μεταβάλλοντος εἰς τὸ ἑπόμενον σύμφωνον, δι' εὐφωνίαν ἀποκοπέντος τοῦ α. κατέβαλεν, κάββαλεν. κατὰ δέ, καδδέ. Ἔτι τὸ δ, καὶ π ἐν τοῖς ἐπιρρήμασιν. ἄδδην, ὁππότε. καὶ τὸ τ, ἐν τῷ ὅττι. Δῆλον δ' ἄρα κἀντεῦθεν, ὅτι βραχυντικὸν ἡ παραγωγή· ἐννέα μὲν γὰρ διὰ διπλῶ, ἔνατον δὲ διὰ ἁπλῶ. καὶ τέτταρα μὲν τέταρτον δέ, καὶ θάλλω μὲν θαλερὸν δέ, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ἀλλὰ περὶ μὲν προσῳδίας τε, καὶ ὀρθογραφίας ἀποχρώντως σχεδόν τι εἴρηται.

Τέλος τοῦ τρίτου.

CONSONANTIVM DVPLICATIO.

FRequens ſanè in orthographia conſonantium quoq; geminatio, duplicantur enim in quibuſdam & mediæ, & tenues, & immutabiles, & σ. quemadmodũ deiecit, angelus, abunde, granum, equus, Atticus, alius, portio, thynnus, procul, mare. duplex uero, uel aſpirata nunquam. Fit autem huiuſmodi uel propter meliorẽ ſonum, ut ſed, & pinna, & arena, & equus, & alia huiuſmodi. uel productionis cauſa, ut pſallo, mitto. uel iuxta cognationẽ, & mutationẽ, ut ſponſio. etenim ν neq; ante γ, aut κ, aut χ, aut ξ ſeruatur cõpoſita. ſed uertitur in γ, ut ſpõſio, cerebrũ, *Litteræ ν in cõpoſitione.*

cõfundo, cohoſpitor. neq; ante β, uel π, uel φ, uel ψ, uel μ, ſed in μ mutatur. ut cõſiliarius, cõpotor, cõſonans, cõſuffragator, cõmilito. At nec ante λ, aut ρ, aut σ, ſed in ſequentem literam ipſam uertitur. ſyllaba, confluens, ſodalis. Vnde ſanè & quæ ab in ιος maſculinis fiunt fœminina in σσα, duplici ſcribuntur σσ, uenuſtus, uenuſta. nam à uenuſti ge-

Γ. nitiuo fiunt, mutata quidem ν, ut dictum eſt. Γ quoque conduplicari contingit, & μ, & λ, & ρ, & σ. Ipſam uero ν & in compoſitione accidit geminari, ſyllaba ab eadem incipiente. cogitatio, cogitabundus. ac rurſum in uerbis in νω deriuatis à deſinentibus in νω puris uerbis, luo, luo, & inde quidē & in uerbis μι, ν ſeruãtibus, luo. Contrarium uero accidit, ut ſcilicet deficiat ν in cõpoſitionibus omnino, in quibus σ ſequitur, contraho, congregatio, feries.

Λ. Cæterum λ duplatur in uerbis quartæ non longa natura penultimãtibus, ut floreo, diſtinguo, tremo, orior, pereo.

Μ. exceptis uolo, & ſum. Porrò μ & mutatione β geminatur, ut in uerbis primæ coniugationis ſcriptus ſum, uerbe-

Ρ. ratus ſum. Ρ autem mutatione σ geminatur, propter cognationem uidelicet & iſtã, fuluum, fuluum. procul, procul. Generaliter autem & quando principiũ dictionis cõponetur cum deſinẽtibus in uocalẽ, uerbum, aduerbium, locutio, prædicatio, ualidus, inualidus. Perinde ut quod augmento fit ſyllabico, proijcio, proijciebam. Excipiantur compoſita ab εὐ, robuſtus. Circunfluã uero, & imperfectũ,

σ duplicatio. propter carmen non aſſumpſere duplicem. Verum σ duplex etiam in finitis in σσα fœmininis gentilibus, Ciliſſa, Libyſſa, Threſſa, Magneſſa. Itẽ in Ionicis datiuis nominum quintæ inflexionis omnibus, feris, atque in his quæ apud Atticos in duplex mutãtur ττ, lingua, lingua. duplex, duplex. fodio, fodio. Aequabilius tamen in uerbo fodio, & ſimilibus ſcribere, fodio, quemadmodum in uetuſtioribus exemplaribus uidemus. Non abſimiles uero his poẽtarum propter carmen duplicationes. nam à δ, uel σ, uel aliqua immutabilium incipientia uerba geminant declinata

nata in præterito imperfecto,& indefinito.ut timuit, impulſus eſt, ſortitus eſt, ſortitus eſt, habitabat, dicebat uero commune eſt.Prǫterea & in nominibus immutabiles,& σ duplicantur.perpetuum, Ennoſigęus,regio maritima,medium . Atqui in futuris coniugationis tertiæ, & indefinitis,ut extinguam,extinxi.ridebo,riſi.deijcit uero præteritum, & decidit, atq; his ſimilia, non propter metrum geminantur,ſed quia tranſit τ in ſequentem conſonantem, propter concinnitatem meliorem, eliſa litera α. deiecit, deiecit.ſecundum uero,ſecundum uero.Porrò geminantur δ,& π in aduerbijs . abunde, quando. & τ in quod. Manifeſtum ſanè & hinc, quod uim habet breuiandi deriuatio, ſiquidem nouem duplici ν ſcribitur, nonum uero ſimplici, & quatuor quidem, quartum contra. itidem uireſco & uiride, conſimiliter uero & in alijs. Sed de accentu quidem,& orthographia ſufficienter propè dictum eſt.

FINIS TERTII.

ARGVMENTVM LIBRI QVARTI.

Quartus conſtructionẽ partium orationis cum figuris quibuſdã, elegantijsq́; dicendi abſoluit.
Accuratior ad hęc literarũ definitio, ac diuiſio.
Syllabæ, orationis, dictionisq́; cum earundem figurarum tropis deſcriptio.
Nominis definitio, eiuſq; in ſpecies quod ad conſtructionem pertinet, uaria & elegans diuiſio.
Item de caſu.
Verbi cum conſtructione in tropos, & ſpecies diuiſio.
Singulorum modorum conſtructio.
Participiorum definitio, conſtructioq́;.
Articulorum, pronominum, præpoſitionum, aduerbiorum, coniunctionum conſtructio ad reliquas parteis.

ΘΕΟΔΩΡΟΥ

ΓΡΑΜΜΑΤΙΚΗ͂Σ ΕἸΣΑΓΩΓΗ͂Σ ΤΩ͂Ν ΕἸΣ ΤΈΣΣΑΡΑ ΤῸ Δ.

BIBLIOTECA NAZ. VITTORIO EMANUELE ROMA

Λοιπὸν δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν, γραμματικοῦ γάρ ἐστιν ἡ περὶ ταῦτα θεωρία. καὶ τῆς γε τοιαύτης συντάξεως, καὶ τοῦ λόγου ἕνεκα πραγματεύεται ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει ἤτοι κλίσεως, ἢ σχηματισμοῦ, ἢ προσῳδίας, ἢ ὀρθογραφίας. καθάπερ καὶ ὁ Διαλεκτικὸς τοῦ συλλογιστικοῦ λόγου ἕνεκα, περὶ ὀνόματος, καὶ ῥήματος, καὶ προτάσεως θεωρεῖ. Λεκτέον τοίνυν καὶ ὅπως † αὖ τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συνταττόμενα ἀποτελοίη τὸν λόγον, ἵνα τέλος ἡ εἰσαγωγὴ ἔχῃ. καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα, καὶ ὁριστέον ἐνταῦθα. αὖ

THEODORI

GRAMMATICAE INSTITVTIONIS LIBER QVARTVS.

Reliquum aũt eſt de conſtructione partium orationis dicere, nam Grammatici etiam circa hæc conſyderatio. & ſanè huiuſmodi cõſtructionis, & orationis cauſa is tractat, qui de ſingulis octo orationis partibus cõſyderat, ut ſe habeãt uel inflexione, uel formatione, uel accentu, uel orthographia. perinde atq; Dialecticus ob collectiuam orationem de nomine, & uerbo, ac propoſitione contemplatur. Dicendum igitur quo pacto orationis partes apte inuicem, ac debite connexæ abſoluãt orationem, ut demum finem

introductio accipiat. & diuidendum accuratius unumquodq;,ac definiendum hic.

ΟΡΟΣ ΣΤΟΙΧΕΙΟΥ.

Ἀρκτέον δ' ἴσως ἀπὸ τοῦ πρώτου, οἷον τῶν στοιχείων, ταῦτα γὰρ ἡ πρώτη, καὶ ἀμερὴς ἐστὶ τ' ἀνθρώπου φωνή. οὐ γὰρ ὡς ἔτυχεν, ἐπιπλέκεται ἀλλήλοις εἰς σύστασιν συλλαβῆς, ἀλλ' ὡς καὶ τοὔνομα δηλοῖ, στοίχῳ τε, καὶ εὐτάκτως κινούμενά πως συντάσσεται κατὰ λόγον.

DEFINITIO LITERAE.

Incipiendum autem fortaſſe ab initio, nempe à literis. ſunt enim hę prima; & indiuidua hominis uox. ſiquidem non fortuito connectuntur inuicem ad conſtitutionē ſyllabæ,ſed ut uocabulum quoque indicat ſerie, atq; ordine incedunt,componunturq; certa ratione.

Διαίρεσις τῶν στοιχείων.

Τῶν οὖν στοιχείων τὰ μὲν ἐφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα φωνήν, οἷον τὰ φωνήεντα καλούμενα. τὰ δὲ ψόφον, οἷον τὰ σύμφωνα πάντα, φωνὴν δ' οὐκ ἄνευ τῆς τῶν φωνηέντων ἐπιπλοκῆς. Τούτων αὖ πάλιν τὰ μὲν ψοφεῖ ἀτελέστερον, οἷον τὰ ἄφωνα. τὰ δὲ τελειότερον, οἷον τὰ ἡμίφωνα. Συμπάντων δὲ τὰ μὲν προτακτικά, τὰ δ' ὑποτακτικά. τῶν μὲν γὰρ φωνηέντων προτακτικὰ ὡς ἐπὶ τῶν διφθόγγων τὰ α, ε, ο. ὑποτακτικὰ δὲ τὰ ι, υ. προτακτικόν γε μὴν καὶ αὐτὸ τὸ υ τοῦ ι, ὡς ἐπὶ τοῦ μυῖα, καὶ υἱός, καὶ ἅρπυια, καὶ ἑτέρων πλειόνων. Τῶν δὲ συμφώνων προτακτικὰ μὲν ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα λέξεως τὰ δασέα, καὶ ψιλά, καὶ μέσα. τῶν ἀμεταβόλων τὸ λ, καὶ μ, καὶ τῶν διπλῶν τὸ ζ. Καὶ τῶν μὲν δασέων τὸ φ, καὶ χ ἐπιδέχεται τὸ θ. ἐχθρός, φθορά, ἀνάπαλιν δ' οὔ. τούτοις δ' ὁμοίως καὶ τὰ ψιλά τε, καὶ μέσα ἔχει. βδάλλω. ἀκτίς, ἅπτω, ὄγδοον, † βδέλλω. ὅτι μὴ ἡ τῶν γδ σύνταξις ἐπὶ ὑποτακτικῆς συλλαβῆς μόνον. Ἔτι τε τὰ δασέα τοῖς ψιλοῖς τε, καὶ μέσοις οὐδέποτε συμφέρεται. ὑποτασσόμενα δὲ τοῖς ψιλοῖς, καὶ ἐν διαστάσει. Ἀτθίς, Σαπφώ, Ἴακχος. οὐκ ἔτι δὲ καὶ τοῖς μέσοις.

Diuiſio literarum.

Ex literis igitur aliæ quidem per ſe conſtituunt, ac perficiunt uocem, ut quæ uocales appellantur. aliæ uero ſtrepitum ut conſonantes omnes, uocem autem nequaquã abſque uocalium connexione. Ex his præterea aliæ quidem ſtrepunt imperfectius, ut mutæ. aliæ uero perfectius, ut ſemiuocales. Ex uniuerſis autem aliæ quidem præpoſitiuæ, aliæ uero ſubiunctiuæ. inter uocales enim præpoſitiuæ ut in diphthõgis ſunt α, ε, ο. ſubiunctiuæ uero ι, υ. pręponitur tamen etiam υ literæ ι, ut in muſca, & filius, & harpyia, atq; alijs pluribus. Porrò ex conſonantibus præpoſitiuæ, ut quæ nunquã in fine ponantur dictionis, ſunt aſpiratæ, & tenues, & mediæ. item ex immutabilibus λ, & μ. Ex duplicibus ζ, atq; ex aſpiratis φ, & χ recipiũt quidem θ. inimicus, corruptio, contra aũt nõ. cum his uero ſimiliter & tenues, & mediæ ſe habent. radius, tango, octauũ, ſugo. niſi quod combinatio γδ in poſtpoſitiua tantũ ſyllaba nõ inueniatur. Præterea aſpiratæ cum tenuibusq; & medijs nunquã conueniũt, uerũ poſtponũtur tenuibus in diremptione. Atthis, Sappho, Iacchus, non item uero & cum medijs.

Ἀμετάβολα.

Τῶν δὲ ἀμεταβόλων τὸ μὲν ν πρὸ τοῦ μ κεῖσθαι οὐ πέφυκεν ἐπὶ τῆς αὐτῆς λέξεως, διὸ καὶ ἐπὶ τοῦ κέκλιμαι, καὶ κέκριμαι τὸ πρὸ τοῦ μ συμβαῖνον ν ἀποβάλλεται. ἐπικεῖσθαι μέντοι κατ' ἄμφω, ὡς ἐπὶ τοῦ μνεία, ἀμνός, ἀνάπαλιν δὲ τὸ σ. οὐδέποτε γὰρ ὑποτακτικὸν τοῦ μ ἐπὶ τῆς αὐτῆς, καίτοι τοῦ λ, καὶ ν σπανίως μέντοι, ὡς ἐπὶ τοῦ ἅλς, καὶ Τίρυνς, καὶ ἕλμινς. τοῦ δὲ ρ εὔμαλα, πέρσω, πυρσός, διὰ τὸ φωνήεντος δύναμιν ἔχειν τὸ ρ. αὐτὸ δὲ τὸ ρ οὐκ ἔστιν ὅπου προτάσσοιτ' ἂν συντασσόμενον. Ἔτι τῶν δασέων τὸ θ, καὶ χ συνεζευγνύμενα τῷ μ ἀποτελεῖ συλλαβὴν ὑποτακτικὴν, προτακτικὴν δ' οὔ. ἀριθμός, αὐχμός. ὡσαύτως δὲ καὶ τῶν ψιλῶν τὸ κ, καὶ τῶν μέσων τὸ γ. ἀκμὴ, ὄγμος. ταυτὸ δὲ ἴσως συμβαίνει καὶ πρὸ τοῦ δ τῷ γ, ὄγδοος. καὶ τῷ φ, καὶ τ πρὸ τοῦ ν. ἔτνος, ἀφνειός. Ἔτι τὸ θ, καὶ χ τῶν μὲν λ, καὶ ν, καὶ ρ τῶν ἀμεταβόλων συντάσσεται προτιθέμενα εἰς τ.

προτακτικὴν συλλαβὴν, εἴς τε ὑποτακτικήν. τὸ δὲ μ εἰς ὑποτακτικὴν μόνον, ὡς εἴρηται. τὸ δὲ φ ὁμοίως μὲν, καὶ τὰ σύστοιχα πρὸς τὸ λ, καὶ ρ. εἰς μόνην δὲ ὑποτακτικὴν πρὸς τὸν ἄμφω, ἀσυλλήπτως δὲ πρὸς τὸ μ ἔχει παντάπασι. Καὶ τὰ ψιλὰ δὲ, καὶ μέσα τοῖς ἀμεταβόλοις συντάσσεται, ὡς τὸ θ, καὶ χ, πλὴν τοῦ π ἀσυμβάτως ἔχοντος πρὸς τὸ μ, καὶ πλὴν τοῦ τ ἀσυντάκτου μὲν τοῦ ν εἰς προτακτικὴν συλλαβὴν, τὸ μ δὲ προσλαμβάνοντος ὑποτακτικὸν ἐπ' ἄμφω. τμῆμα, ἀτμίς. καὶ πλὴν τοῦ β ἀσυντάκτως πρὸς τὸ μ, καὶ ν ἔχοντος ὅλως. καὶ πλὴν τοῦ δ τοῦ μὲν μ καὶ ἐπιπλεκομένου, καὶ προπλεκομένου. δμῶς, ἄδμητος, τοῦ δὲ λ μηδ' ὅλως οἷόν τε ὄντος συνάπτεσθαι. Καθόλου δὲ πᾶν σύμφωνον μεταξὺ ὂν δυοῖν φωνηέντοιν περὶ μίαν λέξιν τοῦ δευτέρου συλλαβιστέον, ἄγω, φέρω. καὶ ἐὰν μὴ ᾖ δὲ μία λέξις, ἀλλὰ δύο, πάθῃ δὲ ἔκθλιψιν ἡ πρώτη, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τοῦ ἑπομένου φωνήεντι συντακτέον. κατ' ἐκεῖνο, κατ' ἐκεῖνο. Ἔτι ἐὰν τύχῃ κατ' ἀρχὴν λέξεως σύμφωνον συμφώνου ἡγησάμενον ἐν συλλήψει, οὐδ' ἐν μέσῳ λέξεως συνθέτου χωρίζεται. Καὶ ὅλως τὰ κατ' ἀρχὴν λέξεως πρὸ ἑτέρων τοῦ εἶναι συμφώνων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέσῳ λέξεως εὑρίσκοιτ' ἂν ἐν συλλήψει. οἷον ὕβρις, ὅτι καὶ βρέχω. ἀγρός, ὅτι καὶ γράφω. ὅπλον, ὅτι καὶ πλέω. ὕμνος, ὅτι καὶ μνεία. ὅσα δὲ μὴ, ἐν διαστάσει κεῖται ἀεί. Οὔκουν τὸ ἔθλον ἐν συλλήψει, ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ θλ τυγχάνει τὶς ἀρχομένη. οὐδὲ τὸ ὄγδοον, ὅτι οὐκ ἀπὸ τοῦ γδ ἀρχή. οὐδὲ τὸ ὄγκος, ὅτι οὐκ ἀπὸ τοῦ γκ. Ἔτι τὰ αὐτὰ σύμφωνα οὐδέ ποτε ἐν συλλήψει, ἐκκόπτω οὖν, καὶ ἔδδεισε, καὶ κάββαλε, καὶ τὰ τοιαῦτα ἐν διαστάσει. Ἔτι πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. Ἔτι οὐκ ἔστιν εὑρεῖν τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύο ταὐτοδυναμεῖ.

Immutabiles.

Cæterum ex immutabilibus ν ante μ collocari non poteſt in eadem dictione, unde etiam in inflexus ſum, & iudicatus ſum ante μ, ν incidens abijcitur, poſtponi tamen poteſt

poteſt utrobiq;.ut in memoria, agnus, contra aũt σ. nunquam enim poſtponitur μ in eadem dictione, quamuis λ, & ν, rarenter tamen.ut in mare,& Tyrins, & lumbricus.ρ uero ſæpiſſime, uaſtabo, teda, propterea quod & uocalis uim habeat ρ,atqui ipſum ρ nuſquã præponitur iunctũ alteri.Præterea aſpiratarũ θ,& χ coniunctæ literæ μ abſoluũt ſyllabam ſequentẽ, præcedentem uero non. numerus,ariditas.Similiter uero & ex tenuibus π,& ex medijs γ.uigor, ordo.Idem etiã accidit literæ γ, cum δ ſubſequitur,octauus.& φ,& τ ante ν.faba elixa,diues.Præterea θ, & χ,cũ λ, & ν,& ρ immutabilibus cõponuntur,ac præcedunt tam ad primariam ſyllabã, quàm ad ſubſequẽtem, cum μ uero ad ſubſequentem ſolum,ut dictum eſt. Similiter autem & φ, & ſibi cognatæ ad λ,& ρ. at in ſolam ſubſequentem ad ν,repente,porrò incomplexim ad μ ſe habet omnino. Cæterum tenues , & mediæ cum immutabilibus ordinantur, quemadmodũ θ,& χ, dempto π hoſtiliter ſe habente ad μ. dempto & τ, quod non cõponitur cum ν initiali quidem ſyllaba. μ tamen præaſſumpto ſubiungitur utrobique,ſectio,uapor.excepto item & β,incohærenter cum μ,& ν ſe habente prorſus.Rurſum & præter δ cum μ & implicato quidem,& applicato.ſeruus,indomitus,quod cum λ nullo modo poſſit conuenire. In ſumma omnis conſonans ſi inter duas cadat uocaleis in eadem dictione,cum ſecunda proferenda eſt.duco,fero.& ſi non fuerit una dictio,ſed duæ, patiaturq; eliſionẽ prima uocalis quæ apoſtrophum præcedit,cum ſequente uocali eſt copulanda. ut aduerſus illum,aduerſus illum.Rurſum ſi cõtingat in principio dictionis cõſonã præcedere conſonã in cõplexu, nec in medio quidẽ dictiõis cõpoſitæ ſeparãtur.Atq; omnino ſi quæ in initio dictionis conſonæ diuerſæ ſpeciei conſonis natæ ſunt coniungi,eædem ſanè & in medio dictionis inueniri poſſunt cohærẽter,ut iniuria,quia madeo. ager, quia ſcribo.armatura,quia nauigo. hymnus,quia memoria.quę uero minus,dirimũtur ſemper.Nõ igitur in bonũ cohærẽt,

quod nulla dictio à coniunctis δλ in eadem ſyllaba incipiat. neq; octauum, cum non ſit, quæ γδ ordiatur. neq; tumor, quod nulla à γκ Item eiuſdem nominis cõſonantes nunquam coniunguntur, excido igitur, & timuit, & deiecit, atq; id genus alia dirimuntur. Rurſum quæcunq; ſyllaba in conſonantem deſinit, ſequentem habet à cõſonante incipientem. Porrò non eſt inuenire tres conſonantes, nõ interiecta aliqua uocali, quarũ duæ eiuſdẽ ſint uirtutis.

Μετάθεσις.

Γίνεται δὲ καὶ μετάθεσις τῶν στοιχείων, καρδία, κραδία. ἀτραπὸς, ἀταρπός. σφάγανον, φάσγανον. ὀλίγος, λοιγός. Καὶ πάθη συμβαίνει τοιαῦθ' ἄττα, τὸ μὲν μακρὸν εἰς βραχέα διαλύεσθαι. ἦγε, ἔαγε. ἢ ἀνάπαλιν συναιρεῖσθαι, ἱερόν, ἱρόν. δῖιος, δῖος, ταῦτα γε μὴν ἑτέρας ἂν θεωρίας εἴη.

Metatheſis.

Tranſpoſitio literarum. Fit etiam tranſpoſitio literarũ, ut cor, cor. ſemita, ſemita. enſis, enſis. paucus, paucus. Et paſſiones incidunt huiuſmodi quædam, ut longa in breuem ſoluatur. ut fregit, fregit. & uiciſſim ut contrahatur, ſacrum, ſacrum. diuus, diuus, hæc tamen alterius fuerint conſyderationis.

ΟΡΟΣ ΣΥΛΛΑΒΗΣ.

Οὕτω μὲν οὖν τὰ στοιχεῖα πρὸς ἄλληλα ἔχοντα συντίθησι διαφόρως τὴν συλλαβήν, σύλληψιν οὖσαν στοιχείων εὐαρμόστως συντεταγμένων. Ὃν δὲ τρόπον ἡ τῶν στοιχείων συμπλοκὴ οὐθὲν ἄτακτον ἔχει, οὕτω καὶ αἱ συλλαβαὶ κατὰ λόγον ἀλλήλαις συνιοῦσαι τὴν λέξιν ποιοῦσι, καὶ αὖ πάλιν αἱ λέξεις τὸν λόγον.

DEFINITIO SYLLABAE..

Ad hunc aũt modũ literæ inuicem ſe habentes, conſtituunt differẽter ſyllabã, quæ cõpræhenſio eſt literarũ apte cõpoſitarum. Quemadmodũ uero literarũ cõplexio nihil inordinatũ habet, ita & ſyllabæ certa ratione inter ſe coeũtes dictionem efficiunt, rurſumq; dictiones orationem.

ΟΡΟΣ ΛΟΓΟΥ.

Ἔστι γὰρ δὴ ὁ λόγος σύνταξις λέξεων εὐαρμόστως συντεθειμένων διάνοιαν ἔχουσα αὐτοτελῆ.

DEFINI-

DEFINITIO ORATIONIS.

Eſt itaque oratio, coordinatio dictionum appoſite coniunctarum ſententiam habens perfectam.

ΟΡΟΣ ΛΕΞΕΩΣ.

Λέξις δὲ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου, καὶ μέντοι γε πολλαχῆ ὅμοιόν τι ἐπί τε τῶν στοιχείων, καὶ ἐπὶ τῶν λέξεων, καὶ ἐπὶ τῶν λόγων ἐστὶ θεωρεῖν. διπλασιάζεται γὰρ οὐ μόνον στοιχεῖον, ἵππος, ἄλλος. ἀλλὰ καὶ συλλαβὴ, ἀλαλάζω, μεμβλήκα, προπροκυλινδόμενος. καὶ λέξις, Ἄρες, Ἄρες, τὸ Ὁμήρου. καὶ ὦ Κύκλωψ, Κύκλωψ, τὸ Θεοκρίτου. καὶ ἰοὺ, ἰοὺ, Ἀριστοφάνους. καὶ λόγος, τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ, τὸ Ὁμήρου. καὶ βωκαλιάσδεο Δάφνι, τὺ δ' ᾠδᾶς ἄρχε πρᾶτος, ᾠδᾶς ἄρχεο πρᾶτος, τὸ Θεοκρίτου.

DEFINITIO DICTIONIS.

Dictio autem, pars minima conſtructæ orationis, iam uerò ſæpenumero & ſimile aliquid in literis, & in dictionibus, & in orationibus eſt conſyderare. geminatur enim non ſolũ litera, ut equus, alius. ſed & diſyllaba, ut exulto, manſi, prouolutus. Item dictio, Mars, Mars, apud Home. & o Cyclops, Cyclops, apud Theocritũ. Et heu, heu, Ariſto phanis. Rurſum oratio, huic ego obuius eo, & ſi igni manus eſt ſimilis, ſi igni manus eſt ſimilis, robur autem ardenti ferro, Homeri. & boues paſce Daphni, tu cantum incipe, cantũ incipe prior, apud Theocritum.

Congeminatio dictionis, atque orationis.
Iliad. ε.
Idyll. ια.
In Plutone.
Iliad. ι.
Idyll. ϛ.

Πλεονασμός.

Ἔτι καθάπερ στοιχεῖον ἐστὶν ὃ πλεονάζει οὐ τὸ αὐτὸ, στάχυς, ἄσταχυς. πνοὴ, πνοιή. τοῦτον, τουτονί. οὕτω γε συλλαβὴ, λιπὼν, προλιπών. ἔτυμος, ἐτήτυμος. ἔφης, ἔφησθα. Καὶ λέξις, τοῦτο μὲν ἐν συνδέσμοις, τοῦτο δὲ ἐν προθέσεσι. Βοῶν ἐπιβουκόλος ἀνήρ. Χρυσοῦ δὲ στήσας Ὀδυσσεὺς δέκα πάντα τάλαντα. καὶ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. ἔνθα μὲν γὰρ τὸ πάντα, ἔνθα δὲ τὸ μάλα πλεονάζον. τοιοῦτο δέ γε τὸ ὀφθαλμοῖσιν ἴδωμαι, καὶ οἱ παραπληρωματικοὶ δὲ οὐδὲν πολλαχῆ εἰς ἔννοιαν συντελοῦσι. καὶ λόγος, ἔοικέ τι οὗτοι ἀεικές. τὸ γὰρ οὗτοι ἀεικές,

περιέληφεν. καὶ ὅσα οἱ Αἶσα γινομένῳ ἐπένησε λίνῳ, ὅτέ μιν τέκε μήτηρ. πλεονάζει γάρ, ὅτε μιν τέκε μήτηρ.

Pleonaſmus.

Homericum. Mutuata è Plutarcho in Homerum. Præterea quemadmodũ litera alicubi abundat non eadem, ut ſpica, ſpica. flatus, flatus. hunc, hunc. ſic etiam ſyllaba, reliquũ, reliquum. uerus, uerus. dixiſti, dixiſti. Item
Odyſſ. γ. dictio cum in cõpoſitione, tum uerò in appoſitione. boum bubulcus uir, Auri uerò ſtatuens Vlyſes decem omnia talenta, Et certe ualde iam occubuerat Menœtij fortis filius.
Iliados σ. illic enim omnia, hic uerò ualde abũdat Huiuſmodi uerò & oculis uidebam. et expletiuę coniunctiones, quæ nihil plerunq; ad ſententiã conferũt. et oratio, cõſentaneũ ſanè,
Iliados υ. nõ uerò incõſentaneũ. non uerò incõſentaneũ, ſuperfluũ. item quę ſibi Parca Naſcẽti neuit ſtamine, quãdo ipſum peperit mater. redundat enim, quando ipſum peperit mater.

Ἔλλειψις.

Ἔστι στοιχείου μὲν ἔλλειψις, γαῖα, αἶα. ἑκατέρωθεν, ἑκάτερθεν. πολλάκις, πολλάκι. συλλαβῆς δέ, ἀστράπτει, στράπτει. ἀμφιφορεύς, ἀμφορεύς. Ἀπόλλωνα, Ἀπόλλω. λέξεως δέ, Εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης. ἐνδεῖ γάρ, τὸ ἐστίν. καὶ τὸ Θεοκρίτου, ὅδε μοι τὸ λαγωβόλον ἁδὺ γελάσσας, Ὥς πάρος ἐκ Μοισᾶν ξεινήιον ὤπασεν εἶμεν. ἐνδεῖ, τὸ ὑπάρχον. λόγου δὲ ἔλλειψις, Κἄπειτ' ἀπὸ τάρσου σοῦ θεοὺς ὑπερφρονεῖς, ἀλλ' οὐκ ἀπὸ γῆς. εἴπερ ἐλλείπει, τὸ ἠβούλου ὑπερφρονεῖν. Τοιοῦτο καὶ τό, Εἰ μὲν κατέλυσαν ἵνα, εἰ δὲ μὴ ἀνεκρούοντο, πρὶν εἰς χεῖρας ἐλθεῖν. ἐνδεῖ γὰρ τὸ εὖ ἔχειν. ὅμοιον δ' ἂν εἴη καὶ τὸ τὸ ἅπαξ ἐκθέντα λόγον δίς, καὶ τρίς, ἢ πολλάκις λαμβάνοντα ἀπὸ κοινοῦ νοεῖν. οἷον κόσμος ἀνθρώπῳ φρόνησις, σωφροσύνη, δικαιοσύνη, ἀνδρεία. πᾶσι γάρ τοι προσυπακούεται, τὸ κόσμος ἐστί.

Ellipſis.

Accidit quoque & literæ defectus, terra, terra. utrinque, utrinque. ſæpe, ſæpe. Quinetiam ſyllabæ, fulgurat, fulgurat. amphora, amphora. Apollinẽ, Apollinẽ. Item dictionis, ut
Iliados μ. Vnũ auguriũ optimũ, pugnare pro patria. deeſt enim, eſt.
Idyll. ζ. & illud Theocriti, Ille uero mihi uenabulũ ſuaue ridens

Vt

Vt ante,ex Muſis munuſculum dedit eſſe.deeſt,promiſit. Orationis autem defectus eſt, Et deinde è crate deos contemnis,ſed nō è terra.ſiquidē deeſt,Deū uolebas contemnere. tale & illud, ſiquidem merſiſſent quempiam,ſi non repulſi fuiſſent, priuſquam ad manus ueniretur.deeſt,bene habebat. Simile fuerit & ſemel prolatā orationē bis, aut ter,aut ſæpius ſumentē à cōmuni intelligere. ut ornamentum homini prudentia,ſobrietas,iuſtitia,fortitudo.in ſingulis enim ſubauditur,ornamentum eſt. *Iambicum ex Ariſtophanis Nephelis.* *Thucydid.*

Ὑποτακτικὴ θέσις.

Ἔτι ὡς ἐπὶ τῶν συλλαβῶν ἐστιν ἅς ὑποτασσομένας μηδέποτε προτασσομένας εὑρεῖν, οὕτω δὴ καὶ ἐπὶ τῶν λέξεων. τὰ γὰρ ὑποτακτικὰ τῶν ἄρθρων καὶ αἱ ἐπιταγματικαὶ ἀντωνυμίαι, καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων τοιάδε. ταυτὸ δὲ τοῦτο καὶ ἐπὶ λόγου, τοιοῦτο γάρ δὴ τὸ συνημμένον. εἰ περιπατεῖ Σωκράτης, κινεῖται.

Suppoſitiua poſitio.

Rurſum ut in ſyllabis licet quaſdam,quæ poſtponantur, & nunquam præcedāt inuenire, itidem & in dictionibus. nimirum poſtpoſitiui articuli, & appoſitiua pronomina, & ſubiunctiua uerba eiuſmodi ſunt. idem ipſum contigit in oratione,cuiuſmodi hoc aggregatum. ſi ambulat Socrates,mouetur.

Διάλυσις, καὶ συναίρεσις.

Ἔτι ὡς τὰ στοιχεῖα διάλυσιν, καὶ συναίρεσιν πάσχει, οὕτω καὶ συλλαβή. Πηλείδου Πηλείδαο, Ἑρμέας Ἑρμῆς. Καὶ λέξις, κατὰ ταῦρον ἐδηδὼς, ἀντὶ κατεδηδώς. Κἂν τοὐναντίον λέξεις δύο εἰς μίαν, βαρυστενάχων, καὶ δακρυχέων. ἀντὶ τοῦ βαρὺ στενάχων, καὶ δάκρυ χέων. Καὶ λόγος, συντίθεται μὲν γὰρ συνδεδεμένοι ἀλλήλοις οἱ λόγοι, διῄρηνται δὲ ἀσύνδετοι ὄντες.

Dialyſis,& ſynæreſis.

Porrò ut literæ ſolutionem, & contractionem patiuntur,ſic & ſyllabæ.Pelidæ Pelidæ,Hermes Hermes.Item dictio,de taurū uorans,pro deuorans.Et è diuerſo dictiones *Apud Hom. Odyſſ.μ.*

Iliad.α. duæ in unam, ſuſpirans, & lachrymans. pro ſuſpirans, & lachrymas fundens. item oratio, componuntur enim coniunctionibus iunctæ inter ſe orationes, dirimũtur uerò ubi illis carent.

Μετάθεσις.

Καὶ μὴν δὴ καὶ συλλαβαὶ μετατίθενται τοῖς στοιχείοις ὁμοίως, κελάρυζα, λακέρυζα, κρυπτοκέφαλος, κεκρύφαλος. καὶ λέξις, οἷον εἴ τις θεὰς σεμνάς, τὰς σεμνὰς θεὰς λέγοι. ἢ ἄπυρον θεῖον, τὸ θεῖον ἄπυρον. ἔνθα μὲν γὰρ τὸ σεμνάς, ἔνθα δὲ τὸ θεῖον προτάττειν συνήθες. καὶ λόγος, οἷον τὸ καλούμενον πρωθύστερον. οἱ δ' αὔεσαν τε πύλας, ἢ ἀπῶσαν ὀχῆας.

Metatheſis.

Tranſpoſitio ſyllabæ atque dictionum. Quin etiã ſyllabæ tranſponũtur quemadmodũ & literæ, garrula, garrula. reticulũ, reticulũ. Itẽ dictio, ut ſi quis deas uenerandas, uenerandas deas dicat. Et frigidũ ſulphur, ſulphur frigidũ. nam illic uenerãdas, hic ſulphur præponere *Iliados ult.* conſuetũ. ſed & oratio, ut quod uocãt præpoſterũ. illi autẽ & aperuerunt portas, & amouerunt uectes.

Δύναμις.

Ἔτι ὃν τρόπον τῶν στοιχείων τὰ μὲν φωνήεντα, τὰ δὲ σύμφωνα, ταύτῃ καὶ τῶν λέξεων τὰς μὲν οἷόν τε προφέρεσθαι καθ' αὑτάς. οἷον τὰ προστακτικὰ τῶν ῥημάτων, καὶ τὰς κλητικὰς τῶν ὀνομάτων, καὶ ἀντωνυμιῶν ἔσθ' ὅτε, τὰς δὲ οὐκέτι, ἀλλὰ δεῖ ἑτέρου τοῦ προσενεχθῆναι κατὰ διάνοιαν ἐντελῆ, οἷον προθέσεις τε, καὶ συνδέσμους. αἱ γὰρ τοιαῦται λέξεις ἀεὶ συσσημαίνουσι, προσκείμεναι δηλονότι ἑτέροις. ὅθεν δὴ αἱ σημασίαι τούτων μεταπίπτουσι πρὸς τὴν τῶν συναπτομένων αὐτοῖς δύναμιν δηλονότι, οἷον ἡ μετὰ ἕτερον μὲν τῇ αἰτιατικῇ συναπτομένη, ἕτερον δὲ τῇ γενικῇ, καὶ σὺν τοῖς ῥήμασιν. ὁμοίως καὶ τοῖς συνδέσμοις. Ἡ μὲν οὖν ἀλλήλοις ὅμοια στοιχεῖον, καὶ συλλαβή, ἢ λέξις, καὶ λόγος εἰρήσθω ἐπὶ τοσοῦτον.

Poteſtas.

Præterea quemadmodũ ex literis quædã uocales, quædam conſonantes, eodem modo & dictionum aliquæ poſſunt proferri per ſe, utpote imperatiua uerborum, & caſus

uoca-

uocatiui nominum,acpronominũ plerunq;.quædam autem non poſſunt citra aliam dictionem proferri,ut ſententiam perficiant, ueluti præpoſitionesq;,& coniunctiones. tales enim dictiones ſemper connotant, appoſitæ uidelicet alijs.quo fit,ut earũ ſignificationes coincidãt in aliarũ cum quibus coniunguntur potentiam. puta hæc præpoſitio cum aliud quidẽ cum actiuo cõiuncta, aliud uero cum genitiuo, atque uerbis ſimiliter iuncta ſignificat & coniunctionibus. Quatenus ergo inter ſe conueniant litera,& ſyllaba,& dictio,& oratio,dictum ſit hactenus.

Ἀνάλογον.

Κοινὸν δ' ἀνάλογον λέξεως, καὶ λόγου· τὸ μὲν λόγον παρὰ τὴν ποιὰν τῶν λέξεων σύνθεσιν ὀρθῶς ἔχειν, καὶ μή. τὴν δὲ λέξιν παρὰ τὴν τῶν συλλαβῶν, καὶ στοιχείων. ὅ,τε γὰρ Βαρβαρισμὸς ἁμάρτημα περὶ λέξιν ἐστὶν, ὅ,τε Σολοικισμὸς ἁμάρτημα περὶ λόγον.

Proportio.

Communis autem proportio dictioni & orationi,nempe ut oratio iuxta aliquam dictionum conſtructionem recte habeat,& ſecus. dictio uero iuxta compoſitionem ſyllabarum,& literarum. etenim Barbariſmus uitium eſt in dictione, Solœciſmus uero uitium in oratione. *Proportio dictionis atq; orationis.*

Βαρβαρισμός.

Καὶ τετραχῶς μὲν ὁ Βαρβαρισμὸς, τοσαυταχῶς δὲ καὶ ὁ Σολοικισμός. ἢ γὰρ ἐνδείᾳ βαρβαρίζων τις ἐλέγχεται, Δημοσθένους, Δημοσθένου. γεγράφασιν, γέγραφαν. ἢ πλεονασμῷ, Αἰσχίνου, Αἰσχίνους. κοιμᾷ, κοιμᾶσαι. τοῦτο δὲ καὶ τὸ διαιρούμενον φαύλως, κοῖλον, κόιλον. ἢ μεταθέσει, κρόταφον, κόρταφον. δίφρον, δρίφον. ἢ ἐναλλαγῇ, φιάλη, φιέλη. ὕαλον, ὕελον. Αἰνείου, Αἰνεία. Καὶ περὶ προσῳδίας, φίλος, φιλός. μισθωτὸς, μίσθωτος, Καὶ περὶ χρόνον τε, καὶ γραφήν. νῖκος τῷ ι, δέον τῇ ει, περὶ ὧν ἄρα καὶ εἴρηται πρότερον τὸ ὀρθόν.

Barbariſmus.

Et quadrifariam quidem fit Batbariſmus, quot modis & Solœciſmus.aut enim defectu barbare quis loqui depre *Barbariſmus quibus modis committatur.*

henditur, ſi quis dicat pro Demoſthenis, Demoſtheni. pro ſcripſerũt, ſcripſerãt. aut redũdantia, Aeſchinis, Aeſchinis. dormit, dormit. Idẽ uero fit, cum ſyllaba ſoluitur perperã. concauũ, concauũ. uel trãſpoſitione, tempus, tempus. currus, currus. uel ĩmutatione, phiala, phiala. uitrũ, uitrũ. Aeneæ, Aeneę. Et in accentu, amicus, amicus. mercenarius, rius. Itẽ in tempore, & in ſcriptura. ut uictoria per ι, cũ oportet ſcribi per ει, de quibus etiam dictum eſt prius abunde.

Σολοικισμός.

Ὁμοίως δὲ γίνεται καὶ ὁ Σολοικισμὸς, ἢ γὰρ ἐνδείᾳ, ἔρχονται πεδίοιο, ἐνδεῖ γὰρ ἡ διά. ἢ πλεονασμῷ, ἐξ οὐρανόθεν, πλεονάζει γὰρ ἡ ἐξ. ἢ ἐναλλαγῇ, τόξων εὖ εἰδὼς, ἀντὶ τοῦ τοξεύειν. νέον δ' ἐσαγείρατο θυμὸν, ἀντὶ τοῦ νεωστί. ἀκτίνεσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν. ταῦτα προφρονέως ἐρέω, ἀντὶ τοῦ δίο. εἴσω ἁλὸς εὐρέα κόλπον, ἀντὶ τοῦ εἰς εὐρέα κόλπον. Τοῦτο δὲ γίνεται κατὰ τὰ παρεπόμενα τοῖς τοῦ λόγου μέρεσιν, οἷον εἶδος, γένος, ἀριθμὸν, σχῆμα, πτῶσιν, ἢ ἐπιρρήματα, ἢ προθέσεις, ἢ τάξιν συνδέσμων, καὶ συνδέσμους αὐτοὺς ἐναλλάσσειν. Εἶδος μὲν, δῖα γυναικῶν, καὶ μελάντερον ἠΰτε πίσσα. Γένος δὲ, Αἴθην θῆλυς ἐοῦσα. καὶ οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντες, ἀντὶ τοῦ πληγεῖσαι. Ἀριθμὸν δὲ, Θέσπιαν, Γραῖάν τε, ἀντὶ τοῦ Θεσπιαί. Σχῆμα δὲ, Αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι, ἀντὶ τοῦ ἐμαυτόν. Πτῶσιν δὲ, Νεστορίδαι δ' ὁ μὲν οὔτασεν, ἀντὶ τοῦ Νεστορίδων. καὶ ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντα. κοῦρος δ' ἄρ ὑπὸ ἤλυθε θάμνους ἐξομόθεν πεφυῶτας, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης. Διάθεσιν δὲ, ὄρωμαι, ἀντὶ τοῦ ὁρῶ. Πρόσωπον δὲ, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεθα πάντες. καὶ σφέτερον πατέρ' ὑμνήσασθαι, ἀντὶ τοῦ ὑμέτερον. Χρόνον δὲ, ἐγὼ δ' ἄγω Βρισηΐδα, ἀντὶ τοῦ ἄξω. Περὶ ἐπιρρήματα δὲ Σολοικισμὸς ἐναλλαγῆς, εἴσω δόρπον ἐκόσμει, ἀντὶ τοῦ ἐντός. καὶ ἐγγύθεν ἱσταμένη, ἀντὶ τοῦ ἐγγύς. Περὶ δὲ προθέσεις, εἰς Ἀγαμέμνονα δῖον, ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα. καὶ ὑπὸ Ἴλιον ἦλθον, ἀντὶ τοῦ περὶ Ἴλιον. Περὶ δὲ συνδέσμους, αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ' ἑταῖρον πέμπω, ἀντὶ τοῦ ἑταῖρον δέ. καὶ κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν, ἀντὶ τοῦ κρατερὸν γάρ.

Solœ

Solœciſmus.

Eiſdem aut modis fit Solœciſmus, aut enim defectu. ueniunt campum, deeſt enim per. aut abundãtia, de cœlitus, redundat de. aut immutatione, arcu bene ſcient, pro ſagittare. recens uero excitabat animum, pro nuper. recens ſimiles, pro aſſimulabãtur. hoc tibi prompte dicam, pro ob hoc. intro maris latum ſinum, pro in latum ſinum. Idẽ fit, ſi quis ea quæ accidunt orationis partibus, puta ſpeciem, genus, numerum, figuram, caſum, uel aduerbia, uel præpoſitiones, uel ordinem coniunctionum, uel coniunctiones ipſas immutet. ſpeciem quidem, ut diua fœminarũ, & nigrius tanquam pix. genus uero, Aetha fœmina exiſtens. & nunquam in noſtris curribus uulnerati, pro uulneratę. Numerum, Theſpian, Gręanq́;, pro Theſpię. figuram, Aſt ego me ſoluam, pro meipſum. Caſum, Neſtoridæ uero hic quidem uulnerauit, pro Neſtoridis. item fulgurans à dextra, pro fulgurantem. et per binos utiq; ſubijt frutices ex eadẽ radice adultos, alter quidem ulmi, alter oleæ. Affectum, uideo, pro uideo. Perſonam, quicunq; dij ſunt in Olympo, tibi & obediunt, & timemus omnes. & ſuum patrem laudantes, pro ueſtrum. tempus, ego uero duco Briſeida, pro ducam. In aduerbijs fit etiam Solœciſmus ex immutatione, intro cœnam parabat, pro intus. & cominus ſtans, pro propè. Itidem in præpoſitionibus, in Agamemnonem diuum, pro ad Agamemnonem. & ſub Ilium uenerunt, pro ad Ilium. In cõiunctionibus, ipſe quidem ego maneo, ſed ſocium mitto, pro ſocium uero. & durum autem uerbum imperauit, pro durum enim.

Solœciſmus quibus modis fiat. *Iliad.θ.* *Iliad.ζ.* *Iliad.α.* *Iliad.λ.* *Homericum paſſim.* *Iliad.Δ.* *Iliad.ψ.* *Iliad.θ.* *Iliad.β.* *Homericum* *Iliad.π.* *Iliad.β.* *Odoſſ.ι.* *Homericum.* *Iliad.α.* *Iliad.σ.* *Iliad.α.*

Μετάθεσις.

Σολοικισμὸς δὲ ἐκ μεταθέσεως, ὡς τὸ Μενάνδρου, Θύγατερ, ἡ νῦν ἡμέρα δηλωσί μοι ἢ δόξαν, ἤτοι διαβολήν. τὸ γὰρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν, ἤτοι διαβολήν. ταῦτα γε μὴν πάντα εἰ καὶ τοῖς ποιηταῖς σχήμαθ᾽ ἅπαξ ἐστίν, ἡμῖν μέντοι ὡς ὑποδείγματα κείσθω τὰ περὶ τὸν πεζὸν λόγον Σολοικισμοῦ. Ἐπεὶ δὲ περὶ λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ

πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ, εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε, καὶ μή. Ἔστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκατάλληλον, καὶ μή. ἀλλ' ἐν τῇ συντάξει τῶν λέξεων, αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. εἰ οὖν ὑπούσης θηλείας λέγοι τις, αὕτη με ἔτυψαν, σολοικίζει διὰ τὸ ἀκατάλληλον τῶν λέξεων, κἂν ἀληθεύῃ περὶ γένους. εἰ μέντοι οὗτός με ἔτυψεν, οὐθὲν ἁμαρτάνει, ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος. Ὥστε αἱ λέξεις ἀναμεμερισμέναι εἰς θέσεις ἰδίας, τὰ ὁπωσοῦν παρεμπίπτοντα εἰς οὐκ ἐπιβάλλουσαν θέσιν ἐλέγχουσιν, διὰ τῆς παρ' ἑαυτῶν ἀκολουθίας. Τῶν τοίνυν τοῦ λόγου μερῶν ἃ δὲ εἰς ἀριθμούς, καὶ γένη, καὶ πτώσεις μετασχηματιζόμενα. ἃ δὲ εἰς πρόσωπα, καὶ ἀριθμούς. ἃ δὲ μηδὲν ἐπιδεχόμενα τοιοῦτό τι, ἀλλὰ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα. ταῦτα δὴ μεταληφθέντα διὰ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν, ἢ προσώπων, ἢ γενῶν τῇ τοῦ λόγου συντάξει ἀναμεμέρισται εἰς ἐπιπλοκὴν τοῦ, πρὸς ὃ φέρεσθαι ἕκαστον δεῖ, οἷον εἰ οὕτω τύχῃ πληθυντικὸν πρὸς πληθυντικὸν ἐπὶ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν. γράφομεν ἡμεῖς, μανθάνουσιν ἄνθρωποι. τὸ γάρ τοι ἐν μεταβάσει τοῦ προσώπου οὐ πάντως ἀπαντήσει τὸν αὐτὸν ἀριθμόν. ἔστι γὰρ φάναι, ὡς τύπτουσι τὸν ἄνθρωπον, καὶ τύπτουσι τοὺς ἀνθρώπους.

Metatheſis.

Tranſpoſitio orationis. Solœciſmus autem ex tranſpoſitione, ut illud Menandri, Filiola, hæc dies dat mihi ſeu gloriam, ſiue calnmniã. quod ita recte ſe haberet, ſiue gloriam, ſiue calumniam. Verum hæc omnia licet Poëtarum figuræ ſint, nobis tamen loco exempli ſint poſita, eius qui in ſoluta oratione fit Solœciſmi. Cum uero de orationis conſtructione cõgrua tractamus, de ipſa primo conuenientia dicendum eſt generaliter, deinde de ſingulis particulis peculiariter conſyderandum quid rectũ, & ſecus. non eſt igitur in ſubiectis membris, ut inconcinna oratio ſit, aut non. ſed in contextu dictionum, quibus accidit applicari ad id, quod oportet. ſi igitur de fœmina dicat aliquis, hæc me uerberauerunt, Solœciſſat

lœciſſat, quia indebite cohæreant dictiones, quamuis uere dicat in genere. & ſi hic me uerberauit, nihil peccat. habet enim quod ad congruitatem requiritur, oratio. unde dictiones ipſæ diſtributæ in ſitus proprios quomodocunq; incidant in non conuenientem ordinem, oſtendũt ex mutua inter eas ſequela. Itaq; ex orationis partibus quædam in numeros, & genera, & caſus deducuntur. quędã in perſonas, & numeros. quædã nihil ſuſcipiũt huiuſmodi, ſed una tantum figura efferuntur. Partes hæ ſanè omnes tranſſumptæ ex proprijs formis ad debitam congruentiam numeri, aut perſonæ, aut generis in orationis conſtructione diſponuntur, ut in hoc conueniant, ad quod referri unaquæque debet, uelut ſi ita contingat pluralis ad pluralem ſecundum eiuſdem perſonæ incidentiam. ſcribimus nos, diſcũt homines. ſiquidem in tranſpoſitione perſonæ non omnino requiretur idem numerus, licet enim dicere, uerberãt hominem, & uerberant homines.

Κατὰ πτῶσιν.

Ὁ αὐτὸς δὲ λόγος κἀπὶ τῶν κατὰ γένος, ἢ πτῶσιν, ἢ πρόσωπον λαμβανομένων. ἔτι γὰρ καὶ τὸ ἐν μεταβάσει ἀδιαφορεῖ, ἡμῶν αὐτὸς ἀκροᾶται, ἡμῶν αὐτοὶ ἀκροῶνται. καὶ οὖν εἰ συνέλθῃ κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον, ἡμῶν αὐτῶν ἀκροῶνται. εἰ μὴ παρέμπτωσις συνδεσμικὴ τὸ πρόσωπον διαστήσει, ἡμῶν, καὶ αὐτῶν ἀκροῶνται.

In caſu.

Eadem ratio in his quoque quæ ſecundum genus, uel caſum, uel perſonam ſumuntur. nam quod in tranſpoſitione eſt, indifferenter ad omnia ſe habet. nos ipſe audit, nos ipſi audiunt. cęterum ſi conueniant in eodem caſu, recidunt in eandem perſonam, ut nos ipſos audiunt. modo non intercidat coniunctio, quæ perſonam diſtinguat. uos, & ipſos audiunt.

Κατὰ γένος.

Ὡσαύτως δὲ κἀπὶ τῶν γενῶν, οὗτοι οἱ ἄνδρες, τούτους τοὺς ἄνδρας. πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ προσώπου ἀδιαφο-

ῥήσει καὶ τὸ γένος, καὶ τὸν ἀριθμόν, τούτους γυνὴ ὕβρισεν.

In genere.

Similiter autem fieri & in generibus ſolet, hi uiri, hos uiros. rurſũ enim in trãſpoſitione perſonæ nihil refert neq; in genere, neq; in numero, ut hos mulier iniuria affecit.

Κατὰ πρόσωπον.

Καὶ ἐπὶ προσώπου, ἐκεῖνος πατὴρ ὢν ἐπιμελήσεται τοῦ παιδός, ἀλλὰ δὴ καὶ σοῦ, καὶ ἐμοῦ. εἴπερ οὖν μὴ ἐπισυμβαίνει τῇ λέξει τὸ διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι, ἀδιαφορήσει τὸ ἐπιπλέκεσθαι διαφόροις τῷ γένει, ἢ τῇ πτώσει, ἢ τῷ ἀριθμῷ, ἢ τῷ προσώπῳ, ἢ τοιούτῳ τινί, ἀνέλεγκτα γὰρ οὕτω τὰ τοῦ μετασχηματισμοῦ γίνεται. καλῶς γράφω, γράφεις, ἔγραψα. Δῆλον γὰρ ὅτι κατάλληλος πάντῃ ἡ σύνταξις, ἡ γὰρ τοῦ ἐπιρρήματος σύνοδος μὴ οὖσα δεκτικὴ ἀριθμῶν, ἢ προσώπων, ἢ πτώσεων, ἢ χρόνων ὧν παραδέχεται τὸ ῥῆμα, ἀκώλυτον τὴν ἐπιπλοκὴν ἴσχει, καὶ ἥκιστα ἐκ τοῦ ἐλεγχομένην ὁμοειδοῦς. οὐκ ἔτι δὲ ταὐτὸ συμβαίνει καὶ ἐπὶ τοῦ καλός, προσώπου γὰρ τρίτου, ἀριθμοῦ ἑνικοῦ τουτί. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις, καλὸς γράφει. καὶ αὖ πάλιν ἐπὶ τὸ καλῶς οὐ παρέμπτωσιν χρόνου σημαίνει ἀδιαφορεῖ χρόνοις συντασσόμενον διαφόροις, καλῶς γράφει, ἔγραψε, γράψει.

In perſona.

Item & in perſona, ille cum pater ſit, curabit filium, quin & te, & me. ſi itaque nihil incidat dictioni, quod diſcrimen poſſit manifeſte facere, integrum erit connexionem fieri ad diuerſa genere, uel caſu, uel numero, uel perſona, uel huiuſmodi aliquo. irreprehenſibilia enim quæ ſic transfigurantur, fiunt. pulchre ſcribo, ſcribis, ſcripſi. liquet enim, quod congrua eſt undiq; conſtructio. nam cũ aduerbialis concurſus non ſit ſuſceptiuus numeri, aut perſonæ, aut caſus, aut temporis quæ recipit uerbum, nihil obſtat, quo minus connectantur, nempe quod nulla arguitur ſimilitudo ſpeciei. non tamen hoc contingit in pulcher, nam perſonæ eſt tertiæ, & numeri ſingularis. unde cum ſingulari ſcribit conſtruitur, pulcher ſcribit rurſum

quia pulcher nõ incidentiam temporis ſignificat, citra diſcrimen temporibus accommodatur diuerſis. pulcher ſcribit, ſcripſit, ſcribet.

Κατὰ ἐπίῤῥημα.

Ἔτι τῶν ἐπιῤῥημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους, προσώποις μὲν διαφόροις, καὶ ἀριθμοῖς συντάσσεται, χρόνοις δ' οὔ. κατέβην χθὲς, καὶ κατέβης, κατέβη. καταβαίνω δὲ, ἢ καταβήσομαι οὔ. Ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ἐπιδέχεται ἐγκλίσεως, οἷον εἴθε, ἄγε. ἡ γὰρ προστακτικὴ ἀνεπίπλοκος τῇ εὐκτικῇ, τἄλλα δὲ σημασίας ἀμοιροῦντα τοιαύτης ἀκώλυτον ἔχει ἐπὶ πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν.

In aduerbio.

Præterea aduerbia quæ in diuerſa diducuntur tempora, cum perſonis quidem diuerſis, & numeris ordinantur, cum temporibus uero non. deſcendi heri, deſcendiſti, deſcendit. deſcendit autem, uel deſcendam nullo modo. Similiter & quæ ſignificationem accipiunt modi, ut utinã, age. imperatiui enim ſignificatio non coniungitur optatiuo, reliqua autem ſignificationis huiuſmodi expertia liberam habent circa omneis modos conſtructionem.

Κατὰ σύνδεσμον.

Καὶ οἱ σύνδεσμοι δὲ εἰς οὐδὲν τῶν εἰρημένων τεμνόμενοι ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη, ἢ πτώσεις, ἢ πρόσωπα. εἴγε μὴν καὶ ἐπ' αὐτῶν γίνηταί τις ἐν μέρει διαφορὰ, οὐκ αὐτὰ περὶ τὴν σύνταξιν σώζοιτο. οἷον ὁ ἂν ὅτι τὰ μὴ γεγονότα ἀναιρῶν θέλει παριστᾶν αὐτὰ εἰς τὸ δύνασθαι, ὅθεν ἄρα καὶ δυνητικὸς εἴρηται, διὰ τοῦτο παρῳχημένοις συντάσσεται, πλὴν τῶν παρακειμένων. εἰ οὖν τις λέγοι, γράψω ἂν, ἀκαταλλήλως συντάττει.

In coniunctione.

Coniunctiones uero ſi in nihil prædictorum ſecentur, citra diſcrimen connectuntur ad diuerſa uel genera, uel caſus, uel perſonas. quod ſi in his eſſet quædam particularis differentia, non ea quæ exigit conſtructio, ſeruarentur. puta ἂν quæ nondum facta auferens uult traducere ea ad potentiam, unde ſanè & potentialis dicitur, & ob hoc

ἂν coniunctio potentialis.

præteritis omnibus coniungitur præterquã perfectis. ſi igitur quis diceret, ſcribam ἂν, incongrue componeret.

Κατὰ ἀντωνυμίαν.

Ἔτι ἐπὶ τῶν ἀντωνυμιῶν τὸ ἐμοὶ ἐπὶ τρίτου οὐ τίθεται, ὡς διελεγχόμενον ἂν ἐπὶ τῆς συζυγίας τῆς οἱ. δῆλον δ' ὅτι οὐδὲ τὸ οἱ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον, ἥγε μὴν αὐτὸς τρίτου οὖσα καὶ πρώτῳ καὶ δευτέρῳ συντάττεται, ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον ἐπὶ συζυγίαν ὑπάρχει, ὃ ἂν τὸ ἀλλότριον συνελέγξειεν. αὐτὸς οὖν ἐγώ, αὐτὸς σύ.

In pronomine.

αὐτὸς pronomen. Cæterũ inter pronomina mihi in tertia perſona nõ ponitur, nempe quod reijcitur in cognato, ſibi. manifeſtũ item quod neq; οἱ in prima ob eandem cauſam, uerum ipſe cũ tertæ ſit perſonę, & primæ & ſecundæ coniungitur, cum nulla ibi conſequens perſona in cognatione exiſtat, qua poſſit eius abſurditas coargui. ipſe igitur ego, ipſe tu.

Ἑαυτοὺς.

Ὅλως γὰρ οὐθὲν συμβαίνει ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθίᾳ διωρισμένα μὴ ὄντα, γινόμενα γε μὴν ἔκ τινος ἀκόλουθα, οὐκ ἔτι παρὰ τὸ δέον συνοισθήσεται. Οὔκουν τὸ ἑαυτοὺς ἐπὶ πρώτου ἐν κακίᾳ, οὐ γὰρ ὑπὸ τοῦ ἐμαυτοὺς διελέγξεται, τὸ ἑαυτὸν δὲ ἴσως, ἔστι γὰρ καὶ τὸ ἐμαυτόν. οὔτε μὴν τὸ σύ, ἢ ἐγὼ ἐπὶ διαφόρων γενῶν φαύλως, οὐ γὰρ ἦν διακριτικὸν γένους. σὺ οὖν αὐτός, σὺ αὐτή. ἐγὼ αὐτός, ἐγὼ αὐτή.

Seipſos.

ἑαυτοὺς quibus perſonis iungatur. Nullum enim omnino contingit uitium in his, quæ in conſequentia definita non ſunt. hæc tamen ſi fiant ex aliquo apta, non perperam conferentur. ſeipſos igitur in prima nõ indecore erit, quod à noſipſos non refellatur. cæterum ſeipſum fortaſſe, licet enim & meipſum coniungi. neque tamen tu, uel ego in diuerſis generibus inepte, quandoquidem illis indiſcretũ genus. itaq; tu ipſe, tu ipſa. ego ipſe, ego ipſa.

Ῥήματα.

Ὁ αὐτὸς δὲ καὶ ἐπὶ τῶν ῥημάτων λόγος, αἱ γοῦν κυρίως ἐγκλίσεις·

σεις εἰς πρόσωπα, καὶ ἀριθμοὺς μερισθεῖσαι τὸ ἀκατάλληλον συνελέγχουσι δὴ ἀριθμῶν, καὶ προσώπων. ἡ δ' ἀπαρέμφατος ἀμοιρήσασα τούτων ἐπὶ πάντα πρόσωπα, καὶ ἐπὶ πάντας ἀριθμοὺς ἐπιβάλλει. γράφειν ἐμὲ, ἡμᾶς. σὲ, ὑμᾶς. χρόνου γε μὴν, καὶ διαθέσεως οὐκ ἀμοιροῦσα παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει.

Verba.

Eadem uerò eſt & de uerbis ratio, proprie itaq; modi in perſonas, & numeros partiti abſurditatem commõſtrant, ſi qua in numeris, perſonis ue committitur. infinitiuus autem horum expers ad omnes perſonas, omneisq; numeros ſe extẽdit. ſcribere me, nos. te, uos. quia uerò tempus, affectumq; habet, ſi quid in his immutetur, incongruitatem arguit. *incurrit*

Μετοχαί.

Δῆλον ταυτὸ ἔσται καὶ ἐκ τῶν μετοχῶν αἷς μετουσία γένους, καὶ πτώσεως, καὶ ἀριθμοῦ. οὐ μὴν δὲ τῆς προσωπικῆς διακρίσεως, τῆς ψυχικοῦ τοῦ βουλήματος. διὸ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα οὐδὲν φαῦλον συμβαίνει, γράψας ἀνέστην, ἀνέστης, ἀνέστη· ἀνάστηθι, ἀνασταίην. Ἔτι τὸ ἔλεγον, καὶ τὰ ὅμοια ἑνικὰ ὄντα διὰ τὸ συνεμπίπτειν τῷ τρίτῳ πληθυντικῷ καταλλήλως συντάσσεται τῷ πληθυντικῷ, ἔλεγον ἐκεῖνοι. ὑπεξαιρείσθω τὰ Δωρικά, ἡ γὰρ ἐν αὐτοῖς καταβιβαζομένη ὀξεῖα ἀφίστησι τὴν πρὸς τὸ ἑνικὸν σύμπτωσιν.

Participia.

Manifeſtũ idem hoc & in participijs, quibus cõmunicatio generis eſt, & caſus, & numeri, citra tamen perſonæ diſcretionem, & animalis uoluntatis. quapropter circa ea, quæ abſunt nullum erratum cõtingit. ſcribens ſurrexi, ſurrexiſti, ſurrexit. ſurgito, ſurgerem. Præterea dicebam, & ſimilia ſingularis numeri, quia coincidunt cum tertia perſona plurali, non incõmode conſtruuntur cum plurali, dicebant illi. excipiantur Dorica, in his enim retractus acutus tonus, diſtinguit cum ſingulari coincidentiam.

Genus.

Certum eſt etiã de genere, nam in his quæ media appellantur uerba coincidentiam recipientia actionis, & paſſionis, nihil quod ad genera attinet, errant.

Πρόσωπον.

Καὶ ἐπὶ συμπτώσεως δὲ προσώπου δῆλον ταὐτό, τὸ γὰρ νικῶ κατάλληλον μὲν ἐπὶ πρώτου ὁριστικοῦ, καὶ τρίτου εὐκτικοῦ, ὡς ἔχει τὸ παρὰ Ἀλκμᾶνι, νικῷ δὲ ὁ κάρρων. ἀκατάλληλον δὲ ἐπὶ δευτέρου ὁριστικοῦ, ᾗ δεύτερον τὸ νικᾷς. Τὸ μὲν οὖν κατάλληλόν τε, καὶ μὴ τῆς συντάξεως οὕτωπως ληπτέον. καὶ ἔτι τὸ μεταβατικόν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν. πρὸς γὰρ τὰς διαφόρους τούτων δυνάμεις, διαφορὰ καὶ τὰ τῆς συντάξεως, ὡς ἐν τοῖς καθ᾽ ἕκαστα ἔσται δῆλον.

Perſona.

Item in concurſu perſonæ clarum & hoc, nam uinco cõuenit quidem in prima indicatiui, & tertia optatiui, ut uidere eſt apud Alcmanem, uincam uerò præſtantior. non itidem in ſecunda indicatiui, quatenus ſecunda eſt uincis. Proinde congruum, & non in conſtructione ſic ferè deprehenderunt. & item quod tranſitiuum, & quod omnino ad aliquã aliam partem refertur. nam diuerſæ harum ſunt uires, & uariæ conſtructiones, uelut in his ſecundum unumquodq; patebit.

Τί τὸ εὖ συντάττειν.

Διὸ καὶ εἴη ἂν τὸ εὖ συντάττειν, καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ τοῦ λόγου μέρη, ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, καὶ τοὐναντίον τὸ Σολοικίζειν. ἁμαρτία γὰρ περὶ σύνταξίν τε, καὶ φράσιν ὁ Σολοικισμός. τὸ δὲ ὀρθὸν ἐν τοῖς παρὰ ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπὶ τὸ πολὺ λεγομένοις. ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία, καὶ μέθοδος.

Quid recte coordinare.

Quamobrem fuerit recte coordinare, non inepte connectere inuicem orationis parteis, prout ratio recta dictat, atque contrarium Solœciſſare. peccatum enim circa conſtructionemq;, & orationem Solœciſmus eſt. rectitudo

uerò loquendi penes eruditiores quod plerunque ſic loquantur. ex his igitur, & circa hæc Grammatices ſpeculatio, methoduſq́; uerſantur.

ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

Τῶν δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα, καὶ ῥῆμα. τῶν μὲν γὰρ ἄλλων χωρὶς γίγνοιτ' ἂν λόγος τέλειος, ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο. Διαφέρει δὲ μηδὲν ὄνομα λαβεῖν, ἢ ἀντωνυμίαν.

DE NOMINE.

Caeterum inter parteis orationis primas ſortiũtur & nomen, & uerbum. quandoquidem ſine alijs fieri poterit oratio perfecta, at ſine his non poterit. Nihil tamen intererit, nomen ſumas, aut pronomen.

Ὅρος ὀνόματος.

Ἔστι δὲ τοὔνομα μέρος λόγου πτωτικόν, σημαντικὸν ἄνευ χρόνου. Εἴδη δὲ τούτου τὰ μὲν κατὰ φωνήν, τὰ δὲ κατὰ σημασίαν. κατὰ μὲν φωνήν, πρωτότυπον, καὶ παράγωγον. κατὰ δὲ σημασίαν, κύριον, προσηγορικόν, ἐπίθετον, καὶ ὅσα εἴρηται πρότερον. Διῄρηται δὲ καὶ τὰ τοῦ παραγώγου εἰς πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον, καὶ ῥηματικόν.

Definitio nominis.

Eſt autem nomen pars orationis caſibus inflexa, ſignificans ſine tempore. Species uerò huius quædam ſecundũ uocem, quædam ſecundũ ſignificationem. ſecundũ uocem, primitiua, & deriuatiua. ſecundũ ſignificationem uerò, propria, appellatiua, adiectiua, & quæ ſunt dictæ prius. Diuiſa uero ſunt nomina deriuatiuæ ſpeciei in patronymicum, poſſeſsiuum, comparatiuum, ſuperlatiuum, diminutiuum, denominatiuum, & uerbale.

Κύριον.

Ἔστι δὲ κύριον τὸ τῆς πρώτης, καὶ κατὰ μέρος οὐσίας σημαντικόν. οἷον Σωκράτης, Πλάτων.

Pro-

Proprium.

Eſt autem proprium, quod primam, & particularẽ ſubſtantiam ſignificat. ut Socrates, Plato.

Προσηγορικόν.

Προσηγορικὸν δὲ τὸ τὰς δευτέρας, καὶ καθόλου οὐσίας. οἷον ἄνθρωπος, ἵππος.

Appellatiuum.

Appellatiuum uero, quod ſecúndam, & uniuerſalem. ut homo, equus.

Ἐπίθετον.

Ἐπίθετον δὲ τὸ κατὰ κυρίων, ἢ προσηγορικῶν λεγόμενον. οἷον ἀνδρεῖος, ταχύς.

Adiectiuum.

Porrò adiectiuum, quod de proprijs, & appellatiuis dicitur. uirilis, uelox.

Σύνταξις ἐπιθέτου.

Τοιοῦτο δ' ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμογενῶς τε, καὶ ὁμοπτώτως, καὶ ὁμοαρίθμως τοῖς κυρίοις, καὶ προσηγορικοῖς πρόσκειται. ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ, ἡ γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τι ἀκριβής. ὑγιὴς οὖν τὸ σῶμα, καὶ λευκὸς τὴν τρίχα, καὶ πυῤῥὸς τοὺς ὀφθαλμούς.

Conſtructio adiectiui.

Quippiam uero huiuſmodi exiens adiectiuum, non ſolum in ſimili genere, in ſimilíque & caſu, & numero proprijs, & appellatiuis adhibetur. uerum etiam oblique conſtruitur cum nominum diuerſorum accuſatiuo, nam datiui uſus non admodum exquiſitus. ſanus igitur corpus, & albus cæſariem, & flauus oculos.

Ἐνάρθρως.

Καὶ τὰ μὲν ἐνάρθρως, τὰ δὲ ἀνάρθρως. ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀποῦσα ὅμως ἐπινοεῖται. οἷον ὁ ἀγαθὸς Σωκράτης φιλοσοφεῖ, τὸ γὰρ ἐντελὲς ἦν, ὁ Σωκράτης ὁ ὢν ἀγαθός. ὥστε εἰ καὶ τὸ κύριόν γε προτάττοιτο, οὐδ' οὕτως ἄνευ ἄρθρου τὸ ἐπίθετον λέγοιτ' ἄν. ὁ Σωκράτης γάρ τοι ὁ ἀγα

θὸς φαμὲν, ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συνάπτοντες. οὕτω γὰρ συμβαίνειν ἀνάγκη προηγουμένου τοῦ κυρίου, ἢ προσηγορικοῦ. Ἀνάρθρως δέ τοι προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα μόνον, ἢ λεγόμενον, ἢ νοούμενον. Σωκράτης ἀνὴρ ἀγαθὸς, Ἀριστοτέλης σοφός. ταῦτα γε μὴν καὶ εἰς ἔναρθρον γενικὴν πληθυντικοῦ μεταβάλλειν οὐθὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν, Ἀριστοτέλης τῶν σοφῶν. Τὰ μὲν οὖν κύριά τε, καὶ προσηγορικὰ ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως σφισὶ τὰ ἐπίθετα ἔχει. συμπαραλήφθω δὲ τούτοις καὶ τὰ ὁμώνυμα, ὧν ὄνομα μὲν κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας διάφορος. Καὶ τὰ συνώνυμα, ὧν τό, τε ὄνομα, καὶ ὁ λόγος κοινόν. Καὶ τὰ ἔθνους δηλωτικὰ, καὶ τὰ περιεκτικὰ, οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον, καὶ τὸ περιεχόμενον. οἷον δαφνὼν, κοιτών. Καὶ τὰ μιμητικῶς πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα. Καὶ πρὸς τούτοις τὰ γένους, ἢ εἴδους σημαντικά. Καὶ τὰ ἀπολελυμένα, οἷον τὰ καθ' ἑαυτὰ νοούμενα, Θεός, λόγος. Περὶ δὲ τῶν λοιπῶν κατὰ τὴν σημασίαν εἰδῶν ποίαν τινὰ σύνταξιν ἔχει, λέγωμεν. Τὰ μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ' ὑπεροχὴν μὲν ὄντα, ἢ καθ' ὑποταγὴν ἀπὸ εὐθείας εἰς γενικὴν, τῶν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται. οἷον πατὴρ υἱοῦ, δοῦλος δεσπότου, διπλάσιον ὑποδιπλασίου. Ὡσαύτως δὲ καὶ τὰ περὶ διαφορὰν λεγόμενα, οἷον ἄλλο, ἕτερον, διάφορον. καλείσθω δὲ διαφορικά, ἐξίσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικήν. ὡς τὸ φίλος τῷ δεῖνι, καὶ ἴσος, καὶ γείτων, καὶ ὅμοιος, καὶ ὁ αὐτὸς, καὶ ὁ ἐναντίος. Καὶ ὅσα ἐκ τοῦ ὁμοῦ, ἢ τῆς σὺν τυγχάνει συγκείμενα. οἷον ὁμοιούσιος, ὁμοφυὴς, σύμψηφος, σύνεδρος. Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσειν κτητικοῦ ἂν εἴη, οὐ τοῦ περὶ τὸ πρός τι ἐτύμου. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ὁμοίου, καὶ ἴσου, καὶ τῶν τοιούτων. οἷον ὁμοιοσχήμων, ἰσοπαλής.

Cum articulis.

Quibus arti-culi iũgãtur.

Atq; alia cum articulo, alia ſine articulo. cum articulo autem quando uerbi ſubſtantiui participiũ abeſt, & tamen ſubintel-

ſubintelligitur,ut bonus Socrates philoſophatur. integrũ enim eſſet,Socrates ens bonus. unde ſi proprium nomen præponatur,non ita ſine articulo adiectiuum pronunciandum eſt. Socrates enim bonus dicimus, utriq; nominum articulum coaptantes. nempe ita fieri neceſſe, præcedente proprio, uel appellatiuo. Sine articulo uero proferimus, ubi ſubſtantiuum uerbum ſolum adeſt uel expreſſum, uel intellectum. Socrates uir bonus, Ariſtoteles ſapiens. tametſi iſta in articulatum genitiuum pluralem commutare nihil prohiberet,Socrates bonorum erat, Ariſtoteles ſapientum. Itaq; propria, & appellatiua in eodem & genere, *Aequiuoca.* & caſu,& numero ſua adiectiua habẽt,retinentq;. Coniun *Vniuoca.* gantur aũt his homonyma, quorum nomen, quidem cõmune,uerum in nomine ipſo ratio ſubſtantiæ eſt diuerſa. Item ſynonyma,quorum nomen,& ratio commune. Præterea quæ gentem ſignificant,& contentiua, nempe ea quę *Gentilitia.* *Contentiua.* ſimul ſignificant continens, & contentum. ut lauretum, *Fictitia.* cubile. Præterea quæ ad imitationem ſonorum, ac uocum qualitates ſunt efficta. Ad hæc quæ genus, aut ſpeciẽ ſignificant. Item abſoluta, ut quæ per ſe ipſa intelliguntur. Deus, ſermo. De reliquis autem iuxta ſignificationẽ ſpeciebus qualem conſtructionem habeant, dicamus. Quæ igitur ad aliud ſemper referuntur, atq; ob talem habitudinem no- *Ad aliquid.* minantur ad aliquid, quatenus per excellentiam, ſubiectionemq; ſumuntur, à recto ad genitiuum eorum ad quę habitus redditur, conſtruuntur. quemadmodum pater filij, ſeruus domini. duplũ, dimidij. Conſimiliter uero quæ ſecundũ differentiã dicũtur, ut aliud, alterum, diuerſum. *Differentialia.* Vocentur aũt differentialia, quæ ex æqualitate ſunt, à no- *Aequalitates.* minatiuo in datiuum. ut amicus alicui, & æqualis, & uicinus, & ſimilis, & idem, & cõtrarius. Item quæcũq; à ſimul, *Compoſita à σὺν, & ὁμοῦ.* uel con cõponũtur, ut conſubſtãtialis, connaturalis, ſuffragator, confeſſor. nã cum genitiuo hæc conſtruere poſſeſſionis fuerit, nõ relationis ueræ. Eodẽ aũt modo & à ſimilis, & æqualis, ac ſimilibus. ut cõformis, ęqualis in pugna.

Ὡς πρός τι.

Τὰ δὲ ὡς πρός τι, οἷον τὰ ἀμέσως ἀντικείμενα διεζευγμένως ἀλλήλοις συντάσσεται, ἤτοι ἡμέρα ἐστίν, ἢ νύξ. ἢ φῶς, ἢ σκότος. ἢ ζωή, ἢ θάνατος. ἢ νόσος, ἢ ὑγίεια.

Tanquam ad aliquid.

Quæ autem ſunt tanquam ad aliquid, ut immediate oppoſita diſiunctiue inuicem conſtruuntur. uel dies eſt, uel nox. uel lumen, uel tenebra. uel uita, uel mors. uel morbus, uel ſanitas.

Πευστικά.

Τὰ δὲ πευστικὰ οἷον τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα ἥκιστα ἄρθροις συντάσσεται ἐπ' ἐρωτήσει ἀρχικῇ λόγου, ὅτι τὸ μὲν πύσμα ἀγνοοῦντος, τὸ δὲ ἄρθρον ἀναφέροντος. τίς, ποῖος, πότερος, πός, πόσος, πηλίκος, ποδαπός, ποσαχῶς. ἐπ' ἀντερωτήσει δὲ τῇ τοῦ εἰρημένου καὶ ἐν ἄρθρῳ ἐσθ' ὅτε, οἷον τὰ ποῖα λέγεις; τὸν τίνα; ἢ ὁ τίς ἐρωτᾷς; συνάπτεται δὲ τὰ ἐρωτηματικὰ ταῦτα, καὶ μάλιστα τὸ τίς τῶν ῥημάτων τοῖς ὑποστατικοῖς τε, καὶ κλητικοῖς, ἐπαγομένου τε ὀνόματος, καὶ εἰ ἀντωνυμία ἐκ τρίτου προσκέηται. τίς ἐστιν οὗτος; ἢ τίς ὁ δὲ καλεῖται; ὅτι Σωκράτης. καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ, τίς οὗτος; εἰ γε μὴν τὸ τίς τ' ἅπτηται μόνον, παντὶ ῥήματι συνάπτεσθαι δυνατὸν ἂν εἴη. τίς βαδίζει; τίς διαλέγεται; ἢ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἥκιστ' ἂν ἑτέρας ἐρωτήσεως δέοι. οἷον τίς γράφει; ἐγώ. εἰ δ' ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον, καὶ ἄλλως πολύσημον. τίς γράφει; Ἡσαΐας. τίς Ἡσαΐας; ὁ Νικολάου. Διαπορητικῶς δὲ ἐρωτῶν πρὸς ὑποτακτικὸν συντετάξεται, πότερον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ, βούλει, εἴπω;

Interrogatiua.

Cæterum percontatiua ut quæ reſponſionem definite poſcunt, nequaquam cum articulis conſtruuntur in interrogatione initiali orationis. quod interrogatio ignorantis ſit, articulus uero referẽtis. quis, qualis, uter, quotus, quantus, qualis, cuias, quot. in exceptione tamen interrogationis.

nis articulate interdũ proferuntur,† ut qualia dicis? quem dicis? & quis interrogas? Conſtruuntur autem interrogatiua hæc, & maxime hoc nomen quis cum uerbis ſubſtantiuis, & uocatiuis ſubſequente nomine, atq; etiam ſi pronomen tertiæ perſonæ adhibeatur. quis iſte? uel quis hic uocatur? quod Socrates. Et per defectum ſubſtantiui, ut quis ipſe? Quod ſi quis ponatur ſolum, cum quouis uerbo collocari poterit. ueluti quis ambulat? quis diſputat? Et ſi pronomẽ reddatur, minime ſubinterrogatione opus erit. ut quis ſcribit? ego. Si nomẽ, opus adhuc erit interrogatione altera, quod nomen cõmune ad multa ſit, multaq; ſignificet, quis ſcribit? Eſaias. quis Eſaias? filius Nicolai. At ambigue interrogans ſubiunctiuo coordinabit, utrum taceã? quid dicam? In ſumma interrogatio ſubiunctiuum uerbum requirit, uis dicam?

† hoc eſt, cum aliquis pro interrogatione etiam interrogat.

Ἀόριστα.

Καὶ τὰ μὴ δηλοῦντα δὲ ὡρισμένως μηδὲν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, οὐ συντάσσεται ἄρθροις. ὅς τις, ὁποῖος, ὁπότερος, τὶς ἐγκλινόμενον. τὸ δ᾽ ἐν τούτοις ἀρχικὸν ο οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Indefinita.

Rurſum quæ nihil ſignificant definite, & ob hoc indefinita appellantur, non conſtruuntur cum articulis. quis, qualis, uter, & quis ſumptum enclitice. nam in his initiale o non articulus, ſed dictionis pars eſt.

Ἀναφορικά.

Τὰ δὲ ἀναφορικὰ καὶ αὐτὰ ὡς τὰ πευστικὰ, καὶ ἀόριστα ἐπί τε ποσοῦ, καὶ ποιοῦ λέγεται, τοῖς τε κυρίοις, καὶ προσηγορικοῖς συντάσσεται ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως. ὁμοιώσεως, ἢ δείξεως ἕνεκα: ἔστι δ᾽ ὅτε καὶ θαυμαστικῶς προφερόμενα, καλεῖται δ᾽ οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπί τι ἀναφέρεσθαι τῶν προεγνωσμένων, συμβαίνει γὰρ τὸ τοιοῦτο ὅταν τις λέγῃ. τοιοῦτος ἦν Ἀχιλλεὺς, οἷος Αἴας: ταῦτα μὲν οὖν εἴη ἂν ἀναπολητικὰ τοῦ τῶν προεγνωσμένων, καὶ ὁμοιωματικά.

Relatiua.

Præterea relatiua & ipſa ut interrogatiua, & indefinita tam de qualitate, quàm de quantitate dicuntur, proprijsq; & appellatiuis iunguntur in ſimili genere, & caſu ſimilitudinis, aut demonſtrationis cauſa. Nonnunquam tamen & admiratiue proferuntur, uocãtur autẽ ita, quod ſententiam ad aliquod referant prius cognitorũ. contingit nempe hoc, cũ quis dicat, talis erat Achilles, qualis Aiax. Hæc igitur fuerint referentia quodãmodo prius cognitorum, & ſimilitudinaria.

Δεικτικά, ἀνταποδοτικά.

Ἔξεστι δὲ ταῦτα καὶ δεικτικὰ, καὶ ἀνταποδοτικὰ ὀνομάζειν, ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν ὁρῶντες τί ὅμοιον, καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδονται ἡγούμενα, καὶ ἑπόμενα. Κυρίως δ' ἀνταποδοτικὰ, τὰ ἔχοντα τὸ τ ἀρκτικόν. τοιοῦτος, τηλίκος, τόσος. ἃ δὴ καὶ τῷ δὲ ἐπεκτείνεται, τοιόσδε, καὶ ἄρθροις συντάσσεται. Τά γε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα οὐ συντάσσεται ἄρθροις, οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ ὁ ὅσος. ἡγεῖται μὲν δὴ ἀλλήλων ἐν τῇ συντάξει, καὶ ἐπιφέρεται, ὡς εἴρηται. οἷον Αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην. καὶ † Ἀλλ' οὐδ' οἳ τόσοι ἦσαν ὅσοι ἑλίκωπες Ἀχαιοί. Καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ ἀπολύτως, ἤτοι ἀποσημαντικῶς. ἢ θαυμαστικῶς, τοίην κεφαλὴν ποθέω. πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ δίχα τῶν ἀνταποδοτικῶν, συμφορῶν γὰρ πεπείραται, οἵων οὐδεὶς φαμέν. καὶ σοφοῖς ἐντυχών, οἷος οὐδείς. καὶ πολέμους διήνυσεν, ὅσους οὐδείς.

Ἀλλ' οὔτοι τόσοι.

Demonſtratiua, & redditiua.

Liceat autem hæc & demonſtratiua, & redditiua nominare, quod ſæpe utentes nominibus huiuſmodi, contemplando oſtendimus quid ſimile, quodq; uiciſſim ſeſe reddunt, præceduntq;, & ſequuntur. quanquã proprie redditiua ſunt, quæ incipiunt à τ. talis, talis, tantus. quæ ſanè & per δε extendũtur, talis, & cum articulis cõſtruuntur. Verum quæ à uocali incipiunt, nõ iunguntur articulis. non

enim

enim ὁ οἷος dicimus, neq; ὁ ὅσος. præcedũt utiq; ſe inuicem Qualis.
in conſtructione, ſequunturq; ut dictũ eſt. ut Vtinã quanto Quantus.
inferior ſum, tanto te ſuperior forem, & Verum nõ tot Iliad. π.
fuerũt, quot formoſi Græci. Quanquã etiã ſine relatiuo ac- Iliad. γ.
cipiuntur redditiua, uel abſolute quidem, uel diſcretiue. Odyſſ. α.
uel admiratiue, tale caput deſydero. multo tamen potius relatiua ſine redditiuis, ſiquidẽ calamitates perpeſſus eſt, quales nemo dicimus. & ſapientibus conuixit, qualibus nemo. item bella abſoluit, quanta nemo.

Περιληπτικά.

Τὰ δὲ περιληπτικά, οἷον τὰ διὰ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα ἑνικοῖς, καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. ὁ δῆμος εἶπεν, καὶ ὁ δῆμος εἶπον. καὶ ἔτι τἆλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα ἑνικοῖς συντάσσεται ῥήμασι, δυϊκῶς δὲ δυϊκοῖς, πληθυντικῶς δὲ πληθυντικοῖς. πλὴν τῶν Ἀττικῶς συνταττομένων ἑνικοῖς οὐδετέρων πληθυντικῶν, Ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσουσι ῥήμασι, παίζει τὰ παιδία. Κἂν ᾖ δὲ ἅττα τῷ μὲν σχηματισμῷ πληθυντικά, τῇ δὲ σημασίᾳ ἑνικά, ἢ δυϊκά. ταῦτα τοῖς μὲν σημαινομένοις ῥήμασιν ἑνικοῖς, ἢ δυϊκοῖς * οὐ χρὴ συντάττειν, τῷ δὲ σχηματισμῷ πληθυντικοῖς. Ἀθῆναι φιλοσοφίαν διέπρεπον, οὐ διέπρεπε. καὶ ἀμφότεροι γράφουσιν, οὐ γράφετον. Τὸ δὲ ἄμφω, καὶ δύο δυϊκῶς ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε, καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. τὸ μὲν διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τὸ ἕν, καὶ τὰ δύο. ἄμφω οὖν τρέχετον, λέγομεν, καὶ ἄμφω τρέχουσι. Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ὑποδεκτικὴν ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις, ὁ γάρ τις λέγοι ἄν, ἡμεῖς γράφομεν. ἀνάπαλιν γε μὲν ἑνικοῖς χρῆσθαι, ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν φαῦλον. τὸ δὲ Ὁμήρου, Μήπως ὡς ἁψῖσι λίνου ἁλόντε πανάγρου, Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι, καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον. οὐ μὴν ἀλλ' οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα, δυάδος γάρ τοι σημαντικὸν αἰεὶ τὸ δυϊκόν. Τὰ μὲν δὴ περιληπτικά

ταῦτα προσηγορικὰ ὄντα ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως σφισὶ τὰ ἐπίθετα σχηματίζει. ὁ εὐτυχὴς δῆμος, εὐδαίμων πληθύς.

Comprehenſiua.

Comprehenſiua uero ueluti quæ in ſingulari numero multitudinem ſignificant, ſingularibus, & pluralibus adiunguntur uerbis. populus dixit, populus dixerunt. Quanquam alia omnia nomina ſingulariter prolata ſingularibus adiungantur uerbis, dualiter uero dualibus, & pluraliter pluralibus. præter quæ Attice ordinantur cum ſingularibus neutra pluralia, Attici nanq; plurales neutrorũ nominũ rectos ſingularibus cõiungunt uerbis, ludunt pueri. Et ſi aliqua fuerint formatione quidem pluralia, ſignificatione uero ſingularia, uel dualia, iuxta ſignificationẽ uerbis ſingularibus, aut dualibus non oportet componere, ſed iuxta formationem pluralibus. Athenæ philoſophia excelluerunt, nõn excelluit. & utrique ſcribunt, non ſcribunt duo. Ceterũ quia ambo, & duo ut ſignificatione, ita & uoce tam dualibus, quàm pluralibus adiunguntur uerbis, cum propter naturalem ſignificationẽ, tum quia complectuntur in plurali numero ſingularis, & dualis, ambo currunt duo dicimus, ambo currũt. ueruntamen in omni dictione ſuſceptiua numeri utimur plurali frequentius, nempe unus dixerit, nos ſcribebamus. cõtra uero ſingularibus uti, uel dualibus pro pluralibus uitioſum. nam illud Homeri, Ne forte tanquam implicamentis retis capti rapacis, Hoſtibus diſcerptio, ac præda fiatis. figura poëtica eſt, & in ſoluta oratione nõ uſurpanda. ſed neq; duali cum ſingulari utimur, nam quod duorũ ſignificatiuum eſt, in duali ſemper manet. Collectiua igitur cum & ipſa appellatiua ſint, in eodem genere, eodemq́ue caſu ſibi adiectiua aſciſcunt. fortunatus populus, beata multitudo.

Atticorum canon.

Quæ diuerſis numero iungantur.

Ambo & duo.

Iliad. ε.

Ἐπιμεριζόμενα.

Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων· τὸ μὲν εἷς ἐκ δύο, ὡς ἕτερος. δύο καθ᾽ ἕνα, ὡς ἑκάτερος. τὸ δὲ εἷς ἐκ

πολλῶν

πολλῶν, ὡς ἄλλοις. πολλοὶ καθ᾽ ἕνα, ὡς ἕκαστος. ἕτερον, καὶ ἕκαστον οὐ. πάντα δέ τοι πρὸς γενικὴν ἢ κτητικῶς, ἢ διαφορικῶς. οἷον ἕκαστον τῶν ζώων, ἕτερον τοῦ λίθου ἐστίν. ἐπιθετικῶς μέν τοι καὶ ταῦτα ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις, καὶ προσηγορικοῖς.

Partitiua.

E partitiuis autẽ quadrupliciter formatis aliud unum notat ẽ duobus, alter. aliud duo per unum, uterque. aliud unum ẽ multis, alius. aliud plureis per unum, unuſquiſque. ẽ quibus alterum, & aliud recipiunt articulum. utrinque, & unumquodq; non. omnia tamen genitiuũ optant uel poſſeſſiue, uel diſcretiue. ut unũquodq; animalium, alterũ ẽ lapide eſt. atqui ut adiectiua, ita ipſa in eodem genere, eodemq; caſu conſtruuntur cũ proprijs, & appellatiuis.

Ταξικά.

Καὶ τὰ ταξικὰ δὲ οἷον τὰ σημαντικὰ τάξεως ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως τοῖς κυρίοις, καὶ προσηγορικοῖς συντάσσεται. ὁ πρῶτος Θεός, ἡ πρώτη οὐσία, τὸ πρῶτον εἶδος.

Ordinalia.

Item ordinalia puta ſignificatiua ordinis in eodem & genere, & caſu pariter cũ proprijs, & appellatiuis cõſtruuntur. primus Deus, prima ſubſtantia, prima ſpecies.

Μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινός, καὶ ταύτῃ καλούμενα μετουσιαστικὰ πρὸς τὰ κύρια, καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει, ὡς τὰ ἐπίθετα. ξύλινος πίναξ, ὀστράκινον σκεῦος. ὁμοιογενῆ τέ ἐστι, καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις, οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη.

Materialia.

Participantia autem materiæ alicuius, & ob id dicta materialia cum proprijs, & appellatiuis conſtructionem & ipſa habent, ſicut adiectiua. lignea tabella, teſtaceum uas. eiuſdemque & generis ſunt, & caſus cum ſubiectis, ſic igitur & quæ ſecundum ſignificationem ſumuntur ſpecies.

uerò loquendi penes eruditiores quod plerunque ſic loquantur. ex his igitur, & circa hæc Grammatices ſpeculatio, methodusq́; uerſantur.

ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

Ὧν δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα, καὶ ῥῆμα. τῶν μὲν γὰρ ἄλλων χωρὶς γίγνοιτ᾽ ἂν λόγος τέλειος, ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο. Διαφερέτω δὲ μηδὲν ὄνομα λαβεῖν, ἢ ἀντωνυμίαν.

DE NOMINE.

CAeterum inter parteis orationis primas ſortiũtur & nomen, & uerbum. quandoquidem ſine alijs fieri poterit oratio perfecta, at ſine his non poterit. Nihil tamen intererit, nomen ſumas, aut pronomen.

Ὅρος ὀνόματος.

Ἔστι δὲ τοὔνομα μέρος λόγου πτωτικόν, σημαντικὸν ἄνευ χρόνου. Εἴδη δὲ τούτου τὰ μὲν κατὰ φωνήν, τὰ δὲ κατὰ σημασίαν. κατὰ μὲν φωνήν, πρωτότυπον, καὶ παράγωγον. κατὰ δὲ σημασίαν, κύριον, προσηγορικόν, ἐπίθετον, καὶ ὅσα εἴρηται πρότερον. Διῄρηται δὲ καὶ τὰ τοῦ παραγώγου εἰς πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον, καὶ ῥηματικόν.

Definitio nominis.

Eſt autem nomen pars orationis caſibus inflexa, ſignificans ſine tempore. Species uerò huius quædam ſecundũ uocem, quædam ſecundũ ſignificationem. ſecundũ uocem, primitiua, & deriuatiua. ſecundũ ſignificationem uerò, propria, appellatiua, adiectiua, & quæ ſunt dictæ prius. Diuiſa uero ſunt nomina deriuatiuæ ſpeciei in patronymicum, poſſeſsiuum, comparatiuum, ſuperlatiuum, diminutiuum, denominatiuum, & uerbale.

Κύριον.

Ἔστι δὲ κύριον τὸ τῆς πρώτης, καὶ κατὰ μέρος οὐσίας σημαντικόν. οἷον Σωκράτης, Πλάτων.

Pro-

Proprium.

Eſt autem proprium, quod primam, & particularẽ ſubſtantiam ſignificat. ut Socrates, Plato.

Προσηγορικόν.

Προσηγορικὸν δὲ τὸ τῆς δευτέρας, καὶ καθόλου οὐσίας. οἷον ἄνθρωπος, ἵππος.

Appellatiuum.

Appellatiuum uero, quod ſecundam, & uniuerſalem. ut homo, equus.

Ἐπίθετον.

Ἐπίθετον δὲ τὸ κατὰ κυρίων, ἢ προσηγορικῶν λεγόμενον. οἷον ἀνδρεῖος, ταχύς.

Adiectiuum.

Porrò adiectiuum, quod de proprijs, & appellatiuis dicitur. uirilis, uelox.

Σύνταξις ἐπιθέτου.

Τοιοῦτο δ᾽ ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμογενῶς τε, καὶ ὁμοπτώτως, καὶ ὁμοαρίθμως τοῖς κυρίοις, καὶ προσηγορικοῖς πρόσκειται. ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ, ἡ γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τι ἀκριβής. ὑγιὴς οὖν τὸ σῶμα, καὶ λευκὸς τὴν τρίχα, καὶ πυῤῥὸς τοὺς ὀφθαλμούς.

Conſtructio adiectiui.

Quippiam uero huiuſmodi exiens adiectiuum, non ſolum in ſimili genere, in ſimilíque & caſu, & numero proprijs, & appellatiuis adhibetur. uerum etiam oblique conſtruitur cum nominum diuerſorum accuſatiuo, nam datiui uſus non admodum exquiſitus. ſanus igitur corpus, & albus cæſariem, & flauus oculos.

Ἐνάρθρως.

Καὶ τὰ μὲν ἐνάρθρως, τὰ δὲ ἀνάρθρως. ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀποῦσα ὅμως ἐπινοεῖται. οἷον ὁ ἀγαθὸς Σωκράτης φιλοσοφεῖ, τὸ γὰρ ἐντελὲς ἦν, ὁ Σωκράτης ὁ ὢν ἀγαθός. ὥστε εἰ καὶ τὸ κύριόν γε προστάττοιτο, οὐδ᾽ οὕτως ἄνευ ἄρθρου τὸ ἐπίθετον λέγοιτ᾽ ἄν. ὁ Σωκράτης γάρ τι ὁ ἀγα-

θὸς φαμὲν, ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συνάπτοντες. οὕτω γὰρ συμβαίνειν ἀνάγκη προηγουμένου τοῦ κυρίου, ἢ προσηγορικοῦ. Ἀνάρθρως δέ τοι προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα μόνον, ἢ λεγόμενον, ἢ νοούμενον. Σωκράτης ἀνὴρ ἀγαθὸς, Ἀριστοτέλης σοφός. ταῦτα γε μὴν καὶ εἰς ἐνάρθρον γενικὴν πληθυντικοῦ μεταβάλλειν οὐθὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν, Ἀριστοτέλης τῶν σοφῶν. Τὰ μὲν οὖν κύριά τε, καὶ προσηγορικὰ ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως σφισὶ τὰ ἐπίθετα ἔχει. συμπαραλήφθω δὲ τούτοις καὶ τὰ ὁμώνυμα, ὧν ὄνομα μὲν κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας διάφορος. Καὶ τὰ συνώνυμα, ὧν τό, τε ὄνομα, καὶ ὁ λόγος κοινόν. Καὶ τὰ ἔθνους δηλωτικὰ, καὶ τὰ περιεκτικὰ, οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον, καὶ τὸ περιεχόμενον. οἷον δαφνὼν, κοιτών. Καὶ τὰ μιμητικῶς πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα. Καὶ πρὸς τούτοις τὰ γένους, ἢ εἴδους σημαντικά. Καὶ τὰ ἀπολελυμένα, οἷον τὰ καθ' ἑαυτὰ νοούμενα, Θεὸς, λόγος. Περὶ δὲ τῶν λοιπῶν κατὰ τὴν σημασίαν εἰδῶν ποίαν τινὰ σύνταξιν ἔχει, λέγωμεν. Τὰ μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ' ὑπεροχὴν μὲν ὄντα, ἢ καθ' ὑποταγὴν ἀπὸ εὐθείας εἰς γενικὴν, τῶν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται. οἷον πατὴρ υἱοῦ, δοῦλος δεσπότου, διπλάσιον ὑποδιπλασίου. Ὡσαύτως δὲ καὶ τὰ περὶ διαφορὰν λεγόμενα, οἷον ἄλλο, ἕτερον, διάφορον. καλείσθω δὲ διαφορικά, ἐξίσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικήν. ὡς τὸ φίλος τῷ δεῖνι, καὶ ἴσος, καὶ γείτων, καὶ ὅμοιος, καὶ ὁ αὐτὸς, καὶ ὁ ἐναντίος. Καὶ ὅσα ἐκ τοῦ ὁμοῦ, ἢ τῆς συν τυγχάνει συγκείμενα. οἷον ὁμοιούσιος, ὁμοφυὴς, σύμψηφος, σύνεδρος. Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσειν κτητικοῦ ἂν εἴη, οὐ τοῦ περὶ τὸ πρός τι ἐτύμου. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ὁμοίου, καὶ ἴσου, καὶ τῶν τοιούτων. οἷον ὁμοιοσχήμων, ἰσοπαλής.

Cum articulis.

Quibus articuli iūgātur. Atq; alia cum articulo, alia ſine articulo. cum articulo autem quando uerbi ſubſtantiui participiū abeſt, & tamen ſubintel-

ſubintelligitur,ut bonus Socrates philoſophatur. integrũ enim eſſet,Socrates ens bonus. unde ſi proprium nomen præponatur,non ita ſine articulo adiectiuum pronunciandum eſt. Socrates enim bonus dicimus, utriq; nominum articulum coaptantes. nempe ita fieri neceſſe, præcedente proprio, uel appellatiuo. Sine articulo uero proferimus, ubi ſubſtantiuum uerbum ſolum adeſt uel expreſſum, uel intellectum. Socrates uir bonus, Ariſtoteles ſapiens. tametſi iſta in articulatum genitiuum pluralem commutare nihil prohiberet,Socrates bonorum erat, Ariſtoteles ſapientum. Itaq; propria, & appellatiua in eodem & genere, & caſu,& numero ſua adiectiua habẽt,retinentq;. Coniungantur aũt his homonyma, quorum nomen, quidem cõmune,uerum in nomine ipſo ratio ſubſtantiæ eſt diuerſa. Item ſynonyma,quorum nomen,& ratio commune. Præterea quæ gentem ſignificant,& contentiua, nempe ea quę ſimul ſignificant continens, & contentum. ut laurетum, cubile. Præterea quæ ad imitationem ſonorum, aquotum qualitates ſunt efficta. Ad hæc quæ genus,aut ſpeciẽ ſignificant. Item abſoluta, ut quæ per ſe ipſa intelliguntur. Deus, ſermo. De reliquis autem iuxta ſignificationẽ ſpeciebus qualem conſtructionem habeant, dicamus. Quæ igitur ad aliud ſemper referuntur, atq; ob talem habitudinem nominantur ad aliquid, quatenus per excellentiam, ſubiectionemq; ſumuntur, à recto ad genitiuum eorum ad quę habitus redditur, conſtruuntur. quemadmodum pater filij, ſeruus domini. duplũ, dimidij. Conſimiliter uero quæ ſecundũ differentiã dicũtur, ut aliud, alterum, diuerſum. Vocentur aũt differentialia, quæ ex æqualitate ſunt, à nominatiuo in datiuum. ut amicus alicui, & æqualis, & uicinus,& ſimilis,& idem,& cõtrarius. Item quæcũq; à ſimul, uel con cõponũtur, ut conſubſtãtialis, connaturalis, ſuffragator, confeſſor. nã cum genitiuo hæc conſtruere poſſeſſionis fuerit, nõ relationis ueræ. Eodẽ aũt modo & à ſimilis, & æqualis, ac ſimilibus. ut cõformis, ęqualis in pugna.

Aequiuoca.
Vniuoca.
Gentilitia.
Contentiua.
Fictitia.
Ad aliquid.
Differentialia.
Aequalitates.
Composita à σύν, & ὁμοῦ.

Ὡς πρός τι.

Τὰ δὲ ὡς πρός τι, οἷον τὰ ἀμέσως ἀντικείμενα διεζευγμένως ἀλλήλοις συντάσσεται, ἤτοι ἡμέρα ἐστίν, ἢ νύξ. ἢ φῶς, ἢ σκότος. ἢ ζωή, ἢ θάνατος. ἢ νόσος, ἢ ὑγίεια.

Tanquam ad aliquid.

Quæ autem ſunt tanquam ad aliquid, ut immediate oppoſita diſiunctiue inuicem conſtruuntur. uel dies eſt, uel nox. uel lumen, uel tenebra. uel uita, uel mors. uel morbus, uel ſanitas.

Πευστικά.

Τὰ δὲ πευστικὰ, οἷον τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα ἥκιστα ἄρθροις συντάσσεται ἐπ' ἐρωτήσει ἀρχικῇ λόγου, ὅτι τὸ μὲν πύσμα ἀγνοοῦντος, τὸ δὲ ἄρθρον ἀναφέροντος. τίς, ποῖος, πότερος, πός, πόσος, πηλίκος, ποδαπός, ποσαχῶς. ἐπ' ἀνταπερωτήσει δὲ τοῦ εἰρημένου καὶ ἐνάρθρως ἔσθ' ὅτε, οἷον τὰ ποῖα λέγεις; τὸν τίνα; καὶ ὁ τίς ἐρωτᾷς; συνάπτεται δὲ τὰ ἐρωτηματικὰ ταῦτα, καὶ μάλιστα τὸ τίς τῶν ῥημάτων τοῖς ὑποτακτικοῖς τε, καὶ κλητικοῖς, ἐπαγομένου τε ὀνόματος, καὶ εἰ ἀντωνυμία ἐκ τρίτου προσώπου. τίς ἐστιν οὗτος; ἢ τίς ὁ δὲ καλεῖται; ὅτι Σωκράτης. καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ, τίς οὗτος; εἰ γε μὴν τὸ τίς τ' ἄπτεται μόνον; παντὶ ῥήματι συνάπτεσθαι δυνατὸν ἂν εἴη. τίς βαδίζει; τίς διαλέγεται; καὶ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἥκιστ' ἂν ἐπερωτήσεως δέοι. οἷον τίς γράφει; ἐγώ. εἰ δ' ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον, καὶ ἄλλως πολύσημον. τίς γράφει; Ἡσαΐας. τίς Ἡσαΐας; ὁ Νικολάου. Διαπορητικῶς δὲ ἐρωτῶν πρὸς ὑποτακτικὸν συντετάξεται, πότερον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ, βούλει, εἴπω;

Interrogatiua.

Cæterum percontatiua ut quæ reſponſionem definite poſcunt, nequaquam cum articulis conſtruuntur in interrogatione initiali orationis. quod interrogatio ignorantis ſit, articulus uero referẽtis. quis, qualis, uter, quotus, quantus, qualis, cuias, quot. in exceptione tamen interrogationis.

nis articulate interdũ proferuntur, † ut qualia dicis? quem dicis? & quis interrogas? Conſtruuntur autem interrogatiua hæc, & maxime hoc nomen quis cum uerbis ſubſtantiuisq́;, & uocatiuis ſubſequente nomine, atq; etiam ſi pronomen tertiæ perſonæ adhibeatur. quis iſte? uel quis hic uocatur? quod Socrates. Et per defectum ſubſtantiui, ut quis ipſe? Quod ſi quis ponatur ſolum, cum quouis uerbo collocari poterit. ueluti quis ambulat? quis diſputat? Et ſi pronomẽ reddatur, minime ſubinterrogatione opus erit. ut quis ſcribit? ego. Si nomẽ, opus adhuc erit interrogatione altera, quod nomen cõmune ad multa ſit, multaq́; ſignificet, quis ſcribit? Eſaias. quis Eſaias? filius Nicolai. At ambigue interrogans ſubiunctiuo coordinabit, utrum taceã? quid dicam? In ſumma interrogatio ſubiunctiuum uerbum requirit, uis dicam?

hoc eſt, cum aliquis pro interrogatione etiam interrogat.

Ἀόριστα.

Καὶ τὰ μὴ δηλοῦντα δὲ ὡρισμένως μηθὲν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα οὐ συντάσσεται ἄρθροις. ὅς τις, ὁποῖος, ὁπότερος, τὶς ἐγκλινόμενον. τὸ δ᾽ ἐν τούτοις ἀρχικὸν ὁ οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Indefinita.

Rurſum quæ nihil ſignificant definite, & ob hoc indefinita appellantur, non conſtruuntur cum articulis. quis, qualis, uter, & quis ſumptum enclitice. nam in his initiale o non articulus, ſed dictionis pars eſt.

Ἀναφορικά.

Τὰ δὲ ἀναφορικὰ καὶ αὐτὰ ὡς τὰ πευστικὰ, καὶ ἀόριστα ἐπί τε ποσοῦ, καὶ ποιοῦ λέγεται, τοῖς τε κυρίοις, καὶ προσηγορικοῖς συντάσσεται ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως. ὁμοιώσεως, ἢ δείξεως ἕνεκα. ἐστὶ δ᾽ ὅτε καὶ θαυμαστικῶς προφερόμενα, καλεῖται δ᾽ οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπί τι ἀναφέρεσθαι τῶν προεγνωσμένων, συμβαίνει γὰρ τὸ τοιοῦτο ὅταν τις λέγῃ. τοιοῦτος ἦν Ἀχιλλεὺς, οἷος Αἴας. ταῦτα μὲν οὖν εἴη ἂν ἀναπολητικὰ τῶν προεγνωσμένων, καὶ ὁμοιωματικά.

Relatiua.

Præterea relatiua & ipſa ut interrogatiua,& indefinita tam de qualitate,quàm de quantitate dicuntur,proprijsq; & appellatiuis iunguntur in ſimili genere,& caſu ſimilitudinis,aut demonſtrationis cauſa.Nonnunquam tamen & admiratiue proferuntur, uocantur autẽ ita, quod ſententiam ad aliquod referant prius cognitorũ. contingit nempe hoc,cũ quis dicat, talis erat Achilles, qualis Aiax. Hæc igitur fuerint referentia quodãmodo prius cognitorum, & ſimilitudinaria.

Δεικτικὰ, ἀνταποδοτικά.

Ἔξεστι δὲ τὰ αὐτὰ καὶ δεικτικὰ, καὶ ἀνταποδοτικὰ ὀνομάζειν, ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν ὁρῶντες τὸ ὅμοιον, καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδονται ἡγούμενα, καὶ ἑπόμενα. Κυρίως δ' ἀνταποδοτικὰ, τὰ ἔχοντα τὸ τ ἀρκτικόν. τοιοῦτος, τηλίκος, τόσος. ἃ δὴ καὶ τῷ δὲ ἐπεκτείνεται, τοιόσδε, καὶ ἄρθροις συντάσσεται. Τά γε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα οὐ συντάσσεται ἄρθροις, οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ ὁ ὅσος. ἡγεῖται μὲν δὴ ἀλλήλων ἐν τῇ συντάξει, καὶ ἐπιφέρεται, ὡς εἴρηται. οἷον Αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην. καὶ † Ἀλλ' οὐδ' οἳ τόσοι ἦσαν ὅσοι ἑλίκωπες Ἀχαιοί. Καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ ἀπολύτως, ἤτοι ἀποσηματικῶς. ἢ θαυμαστικῶς, τοίης κεφαλῆς πόθεω. πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ δίχα τῶν ἀνταποδοτικῶν, συμφορῶν γὰρ πεπείραται, οἵων οὐδεὶς φαμέν. καὶ σοφοῖς ἐντυχὼν, οἷος οὐδείς. καὶ πολέμους διήνυσεν, ὅσους οὐδείς.

Ἀλλ' οὔτοι τόσοι.

Demonſtratiua,& redditiua.

Liceat autem hæc & demonſtratiua,& redditiua nominare,quod ſæpe utentes nominibus huiuſmodi, contemplando oſtendimus quid ſimile,quodq; uiciſſim ſeſe reddunt,præceduntq;,& ſequuntur. quanquã propriè redditiua ſunt, quæ incipiunt à τ.talis,talis,tantus. quæ ſanè & per δε extendũtur,talis,& cum articulis cõſtruuntur. Verum quæ à uocali incipiunt,nõ iunguntur articulis. non enim

enim ὁ οἷος dicimus, neq; ὁ ὅσος. præcedũt utiq; ſe inuicem Qualis.
in conſtructione, ſequunturq; ut dictũ eſt. ut Vtinã quan- Quantus. Iliad.π.
to inferior ſum, tanto te ſuperior forem, & Verum nõ tot Iliad.γ.
fuerũt, quot formoſi Græci. Quanquã etiã ſine relatiuo ac-
cipiuntur redditiua, uel abſolute quidem, uel diſcretiue. Odyſſ.α.
uel admiratiue, tale caput deſydero. multo tamen potius
relatiua ſine redditiuis, ſiquidẽ calamitates perpeſſus eſt,
quales nemo dicimus. & ſapientibus conuixit, qualibus
nemo. item bella abſoluit, quanta nemo.

Περιληπτικά.

Τὰ δὲ περιληπτικὰ οἷον τὰ δὶ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα ἑνικοῖς, καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. ὁ δῆμος εἶπεν, καὶ ὁ δῆμος εἶπον. καὶ ἔτι τἆλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα ἑνικοῖς συντάσσεται ῥήμασι, δυϊκῶς δὲ δυϊκοῖς, πληθυντικῶς δὲ πληθυντικοῖς. πλὴν τῶν Ἀττικῶς συνταττομένων ἑνικοῖς οὐδετέρων πληθυντικῶν, Ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσουσι ῥήμασι, παίζει τὰ παιδία. Κἂν ᾖ δὲ ἄττα τῷ μὲν σχηματισμῷ πληθυντικά, τῇ δὲ σημασίᾳ ἑνικά, ἢ δυϊκά. ταῦτα τῷ μὲν σημαινομένῳ ῥήμασιν ἑνικοῖς, ἢ δυϊκοῖς * οὐ χρὴ συντάττειν, τῷ δὲ σχηματισμῷ πληθυντικοῖς. Ἀθῆναι φιλοσοφίαν διέπρεπον, οὐ διέπρεπε. καὶ ἀμφότεροι γράφουσιν, οὐ γράφετον. τὸ δ᾽ ἄμφω, καὶ δύο δυϊκῶς ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε, καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. τὸ μὲν διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τὸ γʹ, καὶ τὰ δύο. ἄμφω οὖν τρέχετον, λέγομεν, καὶ ἄμφω τρέχουσι. Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ἀντὶ δυϊκοῦ ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις, ὁ γὰρ εἷς λέγοι ἄν, ἡμεῖς γράφομεν. ἀνάπαλιν γε μὴν ἑνικοῖς χρῆσθαι, ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν φαῦλον. τὸ δ᾽ Ὁμήρου, Μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου, Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι, καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον. οὐ μὴν ἀλλ᾽ οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα, δυάδος γάρ τοι σημαντικὸν ἀεὶ τὸ δυϊκόν. Τὰ μὲν δὴ περιληπτικὰ

ταῦτα προσηγορικὰ ὄντα ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα σχηματίζει. ὁ εὐτυχὴς δῆμος, εὐδαίμων πληθύς.

Comprehenſiua.

Comprehenſiua uero ueluti quæ in ſingulari numero multitudinem ſignificant, ſingularibus, & pluralibus adiunguntur uerbis. populus dixit, populus dixerunt. Quanquam alia omnia nomina ſingulariter prolata ſingularibus adiungantur uerbis, dualiter uero dualibus, & pluraliter pluralibus. præter quæ Attice ordinantur cum ſingularibus neutra pluralia, Attici nanq; plurales neutrorũ nominũ rectos ſingularibus cõiungunt uerbis, ludunt pueri. Et ſi aliqua fuerint formatione quidem pluralia, ſignificatione uero ſingularia, uel dualia, iuxta ſignificationẽ uerbis ſingularibus, aut dualibus non oportet componere, ſed iuxta formationem pluralibus. Athenæ philoſophia excelluerunt, non excelluit. & utrique ſcribunt, non ſcribunt duo. Cęterũ quia ambo, & duo ut ſignificatione, ita & uoce tam dualibus, quàm pluralibus adiunguntur uerbis, cum propter naturalem ſignificationẽ, tum quia complectuntur in plurali numero ſingularis, & dualis, ambo currunt duo dicimus, ambo currũt. ueruntamen in omni dictione ſuſceptiua numeri utimur plurali frequentius, nempe unus dixerit, nos ſcribebamus. cõtra uero ſingularibus uti, uel dualibus pro pluralibus uitioſum. nam illud Homeri, Ne forte tanquam implicamentis retis capti rapacis, Hoſtibus diſcerptio, ac præda fiatis. figura poëtica eſt, & in ſoluta oratione nõ uſurpanda. ſed neq; duali cum ſingulari utimur, nam quod duorũ ſignificatiuum eſt, in duali ſemper manet. Collectiua igitur cum & ipſa appellatiua ſint, in eodem genere, eodemque caſu ſibi adiectiua aſciſcunt. fortunatus populus, beata multitudo.

Atticorum canon.

Quæ diuerſis numero iungantur.

Ambo & duo.

Iliad. ι.

Ἐπιμεριζόμενα.

Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων τὸ μὲν εἷς ἐκ δύο, ὡς ἕτερος. δύο καθ' ἕνα, ὡς ἑκάτερος. εἷς ἐκ

πολλῶν

πολλῶν, ὡς ἄλλοις. πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος. ἕτερον, καὶ ἕκαστον οὖν. πάντα δέ τοι πρὸς γενικὴν ἢ κτητικῶς, ἢ διαφορικῶς. οἷον ἕκαστον τῶν ζώων, ἕτερον τοῦ λίθου ἐστίν. ἐπιθετικῶς μέν τοι καὶ ταῦτα ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις, καὶ προσηγορικοῖς.

Partitiua.

E partitiuis autē quadrupliciter formatis aliud unum notat ē duobus, alter. aliud duo per unum, uterque. aliud unum ē multis, alius. aliud plureis per unum, unuſquiſque. ē quibus alterum, & aliud recipiunt articulum utrinque, & unumquodq; non. omnia tamen genitiuū optant uel poſſeſſiue, uel diſcretiue. ut unūquodq; animalium, alterū ē lapide eſt. atqui ut adiectiua, ita ipſa in eodem genere, eodemq́; caſu conſtruuntur cū proprijs, & appellatiuis.

Τακτικά.

Καὶ τὰ τακτικὰ δὲ οἷον τὰ σημαντικὰ τάξεως ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως τοῖς κυρίοις, καὶ προσηγορικοῖς συντάσσεται. ὁ πρῶτος Θεός, ἡ πρώτη οὐσία, τὸ πρῶτον εἶδος.

Ordinalia.

Item ordinalia puta ſignificatiua ordinis in eodem & genere, & caſu pariter cū proprijs, & appellatiuis cōſtruuntur. primus Deus, prima ſubſtantia, prima ſpecies.

Μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινός, καὶ ταύτῃ καλούμενα μετουσιαστικὰ πρὸς τὰ κύρια, καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει, ὡς τὰ ἐπίθετα. ξύλινος πίναξ, ὀστράκινον σκεῦος. ὁμοιογενῆ τέ ἐστι, καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις, οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη.

Materialia.

Participantia autem materiæ alicuius, & ob id dicta materialia cum proprijs, & appellatiuis conſtructionem & ipſa habent, ſicut adiectiua. lignea tabella, teſtaceum uas. eiuſdemq́ue & generis ſunt, & caſus cum ſubiectis, ſic igitur & quæ ſecundum ſignificationem ſumuntur ſpecies.

Πατρωνυμικά.

Τῶν δὲ κατὰ φωνὴν τὰ μὲν ἀπὸ πατρὸς, καὶ προγόνων ἐσχηματισμένα, καὶ πατρωνυμικὰ διὰ τοῦτο καλούμενα, κύριά τε δυνάμει ἐστί. ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς τὰ ἐπίθετα, οἷον Πηλείδης γενναῖος. Καὶ συντάσσειν δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα τοῦ σαφοῦς χάριν, ἔνθα κοινὸν πλείοσιν ἡ πατρωνυμία. οἷον Ἀτρείδης Μενέλαος, ὁ Πριαμίδης Ἕκτωρ.

Patronymica.

Quæ uero ſecundū uocem alia quidē à patre, & maioribus formantur, & patronymica ob hoc appellantur, propriaq; ſunt potētia. unde ſanè & cōſtructionē eandē, quam propria habēt cum adiectiuis, ut Pelides generoſus. Quin & adiungere patronymicis licet propria filiorū ipſorū nomina, expreſſionis cauſa, ut cōmunis eſt pluribus generis denominatio. ut Atrides Menelaus, Priamides Hector.

Κτητικά.

Οὐ μὴν δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως, ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον, ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι. εἰ γάρ τις λέγων ἀνθρώπινον μὴ ἐπι-
ἀτελῶς φέροι σῶμα, ἢ τοιοῦτό τι, † ἀτελὲς ἄν τι φράζοι. δεῖ τοίνυν προστιθέναι τι τῶν κυρίων, ἢ προσηγορικῶν. συντάσσεται δὲ καὶ ταῦτα ὡς τὰ ἐπίθετα ὁμοιοπτώτως, καὶ ὁμοιογενῶς τοῖς κυρίοις, καὶ προσηγορικοῖς, τήν τε σύνταξιν τοῦ ἄρθρου ὁμοίως ἔχει τοῖς ἐπιθέτοις. ἡ Ἰωνικὴ στολὴ, ἡ στολὴ ἡ Ἰωνική. καὶ μεταλαμβάνοντι, τὸ Ἰωνικὸν τῆς στολῆς. Ἀνάλυσίς τε εἰς τὴν τοῦ πρωτοτύπου γενικὴν, Τελαμώνιος υἱός, Τελαμῶνος υἱός. τὸν ἐμὸν φίλον, τὸν φίλον μου. Πλατωνικὴ δόξα, Πλάτωνος δόξα.

Poſſeſſiua.

Ita & quæ ſunt ſubiecta poſſeſſioni ſimiliter, comprehenditur nanque in his res poſſeſſa, at ut neceſſe ſit ſubaudire quippiam. nam ſi quis dicens humanum non infe-
imperfecte rat corpus, uel tale quid † imperfectum quiddam protulerit. apponendum igitur aut proprium aliquod, aut appellatiuum.

latiuum. conſtruuntur aũt & hæc ut adiectiua in eodem caſu, eodemq; genere cum proprijs, & appellatiuis, cõſtrũctionemq; cum articulo eandẽ habent, quam cum adiectiuis. Ionicum indumentũ, indumentũ Ionicum. & tranſſumenti, Ionicũ genus indumẽti. Reſolutioq; in primitiui genitiuũ interdũ fit, Telamonius filius, Telamonis filius. meũ amicũ, amicũ mei. Platonica opinio, Platõis opinio.

Συγκριτικὰ, καὶ ὑπερθετικά.

Τὰ δὲ συγκριτικά τε, καὶ ὑπερθετικὰ κοινὴν μὲν πρὸς τὰ ὑποκείμενα προσηγορικά τε, καὶ κύρια ὧν κατηγορεῖται, συντάσσεται ὡς τὰ ἐπίθετα ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως. πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν, γενικὴν ἀπαιτεῖ. Ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος, καὶ ἰσχυρότατος Ἑλλήνων. διαφέρει δὲ ἧ τὰ μὲν οὐ μόνον ἑνικοῦ, ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικήν, τὰ δ' ὑπερθετικὰ πληθυντικοῦ μόνου. Συγκριτικὸν μὲν γὰρ τὸ καθ' ἐπίτασιν ἢ πρὸς ἓν λαμβανόμενον, ἢ πρὸς πλείω. Σωκράτης Μελίσσου σοφώτερος, καὶ ἑτέρων φιλοσόφων. Ὑπερθετικὸν δὲ τὸ κατ' ἐπίτασιν πρὸς πλείω ἀεί, Σωκράτης Ἑλλήνων σοφώτατος. Τὸ δ' ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μέν, οὐ πρὸς τὸ πρόσωπον δὲ οὗ ἡ γενικὴ ἡ παράθεσις, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις. ὅλως οὖν ἄλλ' ἄττα ἀεὶ τῶν περὶ τὸ πρόσωπον θεωρητέον, ἐν τούτοις γὰρ τὸ ὑπερθετικόν, ὡς ἂν εἰ λέγοι τις, ἄριστα τῶν ἄλλων ἑαυτοῦ διαλέξεων. Καὶ τὰ μὲν οὐ μόνον πρὸς ὁμοφυὲς, ἢ ὁμότεχνον, ἢ συγγενὲς, ἀλλὰ καὶ πρὸς ἑτερογενές. Διονύσιος εὐφυέστερος Δίωνος, Ὅμηρος Ὀρφέως σοφώτερος, Δημοσθένης Αἰσχίνου δεινότερος, Διομήδης ἧττων Ἀχιλλέως, Αἴας ἰσχυρότερος Τρώων. Τὰ δὲ ὑπερθετικὰ πρός τι τῶν ὁμοίων, καὶ συγγενῶν ἀεί, Ἕκτωρ ἀνδρειότατος Τρώων. τὸ δ' Ὁμήρου πρώτιστος, καὶ τρίτατος σχῆμα μόνον ὑπερθετικοῦ ἔχει. Καὶ τὰ μὲν συγκριτικά, καὶ τοῦ ἢ μεσοσυλλαβοῦντος, καὶ μετ' αὐτὸ πτώσεως ἧς καὶ τὸ συγκριτικὸν ἦν, ἐπαγομένης συντάσσεται. οἷον ἀρείοσιν ἠέπερ ὑμῖν ἀνδράσιν ὡμίλησα. Καὶ ἔτι μετὰ τὸ ἢ τῆς κατὰ σὺν αἰτιατικῆς προσκειμένης, πλέον ἢ κατὰ ἄνθρωπον. καὶ μετὰ τοῦ ὡς ἔθ' ὅτι, οἷον ὡς κατὰ ἄνθρωπον. Καὶ μὴν καὶ πρὸς ἀπαρέμφατον

λέγεται μεσοσυλλαβοῦντος ὅτε μὲν τοῦ ἤ, καὶ ἅμα τοῦ ὡς ἀπο-
στατικοῦ, ὅτε δὲ τοῦ ἢ μόνου. οἷον τὸ νόσημα μεῖζον ἢ φέρειν, καὶ ἢ
ὥστε δύνασθαι φέρειν. Τὸ δ' ὑπερθετικὸν οὐδὲν τούτων προσ
λαμβάνειν ἐθέλει. Ἔτι τὰ μὲν ὑπερθετικὰ μεγίστην ἐπίτασιν
ἔχοντα οὐδὲν τῶν ἐπιτατικῶν δέχεται ἐπιῤῥημάτων, οἷον
λίαν, ἢ μάλιστα, ἢ τοιοῦτόν τι. τὰ δὲ συγκριτικὰ ἅτε μὴ τὴν τε-
λεωτάτην ἐπίτασιν ἔχοντα ἔσθ' ὅτε, δευτέραν ἐπιῤῥημα-
τικὴν προσλαμβάνει ἐπίτασιν. οἷον τὸ Ὁμήρου, πολὺ γαυ-
ρότεροι, καὶ ῥηΐτεροι δὴ μᾶλλον ἔσεσθε. Ἔτι τὸ ὑπερθετικὸν
ἐστίν, ὅτε καὶ πρὸς οὐδεμίαν ἀποδίδοται γενικήν. οἷον Ἕσπε-
ρος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. τὸ γοῦν ἀστήρ, ἀντὶ τοῦ
ἀστέρων κατὰ μετάληψιν. Ἔστι δὲ καὶ ἃ ἀπολύτως λεγόμενα
ὑπερθετικῆς τυγχάνει συντάξεως διὰ ὑπεροχὴν ἐνυπάρχου-
σαν σφισίν, οἷον τὸ δῖα, καὶ ἔξοχος, καὶ κορυφαῖος, καὶ μόνος.
δῖα γὰρ θεάων, καὶ μόνος ἁπάντων. καὶ κορυφαῖος, καὶ ἔξοχος
πάντων. Ἀνάπαλιν δ' ἐνίοτε τοῖς συγκριτικοῖς ἀντὶ ἁπλῶν
θετικῶν ἐστι χρήσασθαι, καί τι καὶ τοῦ θετικοῦ μετριώτερον βού-
λεσθαι ὁ λέγων δοκεῖ. Ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις
ἐπὶ δυοῖν ἐμφαίνεταί γε μὴν ἤτοι πρόσωπα μόνον, ἢ μετὰ
τῶν προσώπων καὶ πρᾶγμα. εἰ μὲν γὰρ λέγοι τις, ὅδε μοι γνω-
ριμώτερος ἢ σύ, τρία τὰ πρόσωπα. εἰ δέ, ὅδε ἐμοῦ ἰσχυρότε-
ρος. δύο μὲν τὰ πρόσωπα, ἓν δὲ τὸ πρᾶγμα ἡ ἰσχύς. ὥστε κα-
λείσθω τὸ μὲν τῆς συγκριτικῆς συντάξεως προσωπικόν, τὸ δὲ
πραγματικὸν διὰ ταῦτα.

Comparatiua,& ſuperlatiua.

Comparatiua autem,& ſuperlatiua cõmuniter quidem cum ſubiectis,appellatiuisq́;,& proprijs de quibus prædicantur, conſtruuntur idq́; ut adiectiua in eodem genere, & eodem caſu At quæ tamen habent comparationem, eorum genitiuum poſtulant.Achilles fortior Aiace,& fortiſſimus Græcorũ.Differunt autem hoc quidem,quod non ſolum ſingularem, ſed & pluralem ſortiantur genitiuum, *Definitio comparatiui.* uerum ſuperlatiuum pluralem tantum . Comparatiuum enim per intenſionem uel ad unum aſſumitur,uel ad plura.Socrates Meliſſo ſapientior, & alijs illuſtribus.Superlatiuum

tiuum uero per exceſſum ad plura ſemper, Socrates Græcorum ſapientiſſimus. At illud optime ſuijpſius diſſeruiſſe aliquem ita dicitur, ut non ad perſonam cuius eſt genitiuus fiat comparatio, uerum ad alias eiuſdem diſputationes. In ſumma alia quædam ſemper circa perſonam conſyderanda, nẽpe in his ſuperlatiui ratio. ut ſi dicat quis, optime aliarũ ſuijpſius diſputationũ. Rurſum hæc quidem nõ ſolũ ad ea quæ ſunt eiuſdẽ generis, artis, uel cognationis, ſed ad ea quæ diuerſi. Dionyſius ingenioſior Dione, Homerus Orpheo ſapientior, Demoſthenes Aeſchine uehementior, Diomedes inferior Achille, Aiax fortior Troianis. Superlatiua uero ad aliquid ſimile, & cognatum ſemper, Hector fortiſſimus Troianorum. Sed illud Homeri primiſſimus, tertijſſimus figuram ſolum ſuperlatiui habet. Præterea comparatiua & cõiunctione quàm interueniente, & deinde caſu comparatiui ſubſequente ordinantur, ut melioribus quàm uobis uiris cõuerſatus ſum. etiã ſi poſt quàm ſecundũ cum accuſatiuo inferamus, ut pluſquàm ſecundum hominẽ. & poſt quàm plerunq;, ut quàm ſecundum hominem. Item & cum infinitiuo proferũtur, interueniente quàm quandoq; ſola, quandoq; cum ut digreſſiuo aduerbio. ut ægritudo maior quàm ut feratur, & ut poſſit ferri. Cæterum ſuperlatiuum cum his aſſumi nõ uult. Præterea ſuperlatiua cum maximam intenſionem habeant, nullum intenſiuorũ admittunt aduerbium. ut ſunt ualde, uel maxime, uel huiuſmodi. Comparatiua uero quę non perfectiſſimam intenſionem habent, nonnunquam alteram puta aduerbialem aſſumunt intenſionem, ut in illo Homeri, multo Pauciores & habiliores ſanè magis eritis. Rurſum eſt quando ſuperlatiuum non redditur genitiuo, cuiuſmodi Heſperus, quæ pulcherrima in cœlo ſtat ſtella, ſtella igitur pro ſtellarum tranſſumptiue. Sunt etiam quæ abſolute prolata ſuperlatiuorum ſortiuntur conſtructionem ob excellentiam innatã ſibi, ut diua, & eximius, & præſultor, & ſolus. Diua enim dearũ, & ſolus omnium,

Græca locutio, nõ Latina.

Iliad. β. atq; aliás.

Iliad. α.

Iliad. γ.

Iliad. χ.

& prǽſultor, & eximius ſuper omneis. Contra etiam interdum comparatiuis pro ipſis poſitiuis licet uti, & notare quippiam poſitiuo etiam minus uelle per hæc loquẽs uidetur. Vt igitur uniuerſaliter dicã, cõparatio inter duos demõſtrat quidem uel perſonas, uel cum perſonis & rem ipſam. ſi enim dicat quis, hic mihi notior quàm tu, tres ſunt perſonæ. ſi uero, hic me fortior, duæ quidem perſonæ, res uero unica fortitudo. quare etiam uocetur alia quidem comparatiui conſtructio perſonalis, alia uero realis hac de cauſa.

Ὑποκοριστικά.

Τὰ δὲ ὑποκοριστικὰ ἀπόλυτον ἔχει τὸ σχῆμα, καὶ σημαινόμενον μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου. σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις, καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει. ὁμοιογενῶς γὰρ, καὶ ὁμοιοπτώτως.

Diminutiua.

Diminutiua uero quæ abſolutam habẽt formã, & ſignificationem, diminutionem ſine comparatione indicãt primitiui. conſtructionem uero eandem ut propria, & appellatiua cum ipſis adiectiuis habent, nempe in eodem genere, & in eodem caſu.

Παρώνυμα, καὶ ῥηματικά.

Τῶν δὲ παρωνύμων, καὶ ῥηματικῶν ἰδίᾳ ὀνομασθέντων ὡς ἀπὸ ὀνόματος, ἢ ῥήματος ἐσχηματισμένων, ὅσα μὲν ἐστὶ κύρια, ἢ προσηγορικὰ ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως σφισὶ τὰ ἐπίθετα συνταττόμενα ἔχει, ὡς εἴρηται. ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ καὶ τὴν ἐπιθετικὴν λαμβάνοι ἂν σύνταξιν πρὸς τὰ κύριά τε, καὶ προσηγορικά.

Denominatiua, atq; uerbalia.

Denominatiuorũ, & uerbaliũ quę peculiari nomine ſic dicſitur, quod à nomine, & uerbo trãsformentur, quę quidem ſunt propria, uel appellatiua in ſimili genere, in ſimiliq; caſu ſibi adiectiua iuncta habent, ut dictũ eſt. quæ uero adiectiua, manifeſtũ ex eadem ratione, quod adiectiuorum quoq; more cõſtruantur cũ proprijs, & appellatiuis.

Ἔτι

ΕΤΙ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΟΝΟΜΑΤΩΝ συντάξεως συνεπτικώτερον.

Εἴη δ' ἂν εἰς τρία διελόντι τὸ ὄνομα, κύριον, καὶ προσηγορικὸν, καὶ ἐπίθετον περὶ τῆς κατ' αὐτὸ συντάξεως θεωρεῖν. πάντα γὰρ τἄλλα συντάσσοιτ' ἂν ἐπιθετικῶς τοῖς ὡς κυρίοις, ἢ προσηγορικοῖς ὑποτιθεμένοις. καὶ κοινὸν μὲν ἂν εἴη τὸ ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως συμφέρεσθαι τοῖς κυρίοις, καὶ προσηγορικοῖς. Ἴδιον δὲ τῶν μὴ ἀπολύτως, ἀλλὰ πρὸς ἕτερον λεγομένων τὸ ἢ εἰς γενικὴν, ἢ εἰς δοτικὴν, ἢ εἰς αἰτιατικὴν, ἢ εἰς ἀπαρέμφατον, τετραχῶς οὖν. ὥστε δὲ τὰ μὲν συγκριτικὰ, καὶ ὑπερθετικὰ πάντα εἰς γενικήν. διαφέρει δὲ τῷ ὁμοιογενεῖ τε, καὶ ἑτερογενεῖ, καὶ τῷ ἀριθμῷ ὡς εἴρηται. καὶ ἡ δὴ τὸ μὲν ὑπερθετικὸν καὶ χωρὶς γενικῆς, τὸ δὲ συγκριτικὸν οὔ. Ἔτι τε τὰ διαφορικὰ εἰς γενικὴν, οἷον τὸ ἕτερον, καὶ διάφορον, καὶ ἄλλο. Καὶ τὰ τῶν πρός τι τὰ καθ' ὑπεροχὴν, καὶ ὑποταγήν. Καὶ τὰ στερητικὰ, πένης, ὀρφανὸς, ἐνδεής. Καὶ τὰ πληρωματικὰ, πλούσιος, εὔπορος, πλήρης. Καὶ τὰ ὡς κτητικὰ θεωρούμενα ὅλως, τὰ δ' ἐξ ἴσου τῶν πρός τι εἰς δοτικήν. φίλος, γείτων, ἴσος, ὅμοιος. Εἰς αἰτιατικὴν δὲ, καὶ ἀπαρέμφατον τά τε κυρίως ἐπίθετα, καὶ τὰ ἀναφορικά. οἷον καλὸς τὸ εἶδος, καὶ καλὸς ἰδεῖν. καὶ οἷον εἰπεῖν, καὶ ἀκοῦσαι. Καὶ νομοθετοῦντες οὖν λέγομεν ἢ παραθετικῶς, ἢ διαφορικῶς, ἢ καθ' ὑπεροχὴν, καὶ ὑποταγὴν, καὶ ἰσότητα τῶν πρός τι, ἢ συνεκδοχικῶς, σύνταξις μὲν τοίνυν τῶν ὀνομάτων τοιαύτη πρὸς ἄλληλα.

INSVPER DE NOMINVM CONſtructione compendioſius.

Licebit aũt & in tria diuidenti nomen, proprium, & appellatiuum, & adiectiuum de eius peculiari constructione conſyderare. omnia enim alia cõſtruantur adiectiuorũ more cum tanquã proprijs, uel appellatiuis ſubiectis. atq; cõmune quidẽ ſemper fuerit, quod in eodẽ genere, in eodẽq; & caſu, & numero cõueniãt cũ proprijs, & appellatiuis. Propriũ uero his quæ nõ abſolute, ſed ad aliud

dicuntur, uel cum genitiuo, aut datiuo conſtrui. uel cum accuſatiuo, aut infinitiuo, & id quidem quadrifariam. ſic uero comparatiua quidem, & ſuperlatiua omnia cum genitiuo conſtruuntur. Differunt autem ſimilitudine, & diſſimilitudine generis, item numero, ut dictum eſt, & quatenus ſuperlatiuum quidem ſine genitiuo reperitur, comparatiuum autem non.

Differẽtialia. Præterea differentiã notantia, cum genitiuo. ut alterum, & diuerſum, & aliud. *Ad aliquid.* Et quæ ad aliquid ſecundum præeminentiam, & ſubiectionem dicuntur. *Priuatiua.* Item priuatiua, pauper, orbus, indignus. *Plenitudinaria.* Et quæ ſunt plenitudinis, diues, abundans, plenus. *Poſſeſſiua.* Cæterum quæ ut poſſeſſiua conſyderantur generaliter. *Aequalitates.* Porrò ſumpta ex æqualitate eorum quę ſunt ad aliquid, cum datiuo. amicus, uicinus, æqualis, ſimilis. Cum accuſatiuo autem, & infinitiuo, quæ & proprie adiectiua ſunt, & relatiua. ut pulcher formã, & pulcher aſpectu. & qualis dictu, & auditu. Legem igitur ſtatuentes dicimus uel comparatiue, uel diſcretiue, uel per præeminentiam, & ſubiectionem, & æqualitatem eorum quæ ad aliquid, uel per ſynecdochen. Conſtructio itaq; nominum talis inter ſeſe.

ΠΕΡΙ ΠΤΩΣΕΩΣ.

Πτῶσις δὲ μεταβολὴ μὲν εἴη ἄν τις ὀνόματος, ἢ ὀνοματικοῦ τοῦ κατὰ τὸ τέλος. πέντε δὲ ἀριθμουμένων πτώσεων ἡ πρώτη, καὶ ὀρθὴ καταχρηστικώτερον λέγεται πτῶσις. ταυτὸ γὰρ δὴ ὀρθὸν εἶναι, καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε. ὀνομάζεται δ' ἡ αὐτὴ καὶ εὐθεῖα, καὶ ὀνομαστική, ἁρμόζει τε τῷ ὀρθῷ, καὶ ἀποφαντικῷ λόγῳ.

DE CASV.

Caſus autem uariatio quædam fuerit nominis, uel nominatiui habentis rationem huius circa finem. Ex quinque igitur numeratis caſibus primus quia *Rectus, & nominatiuus.* rectus, inuſitatius appellatur caſus. idem enim rectum eſſe, & deflexum ſimul nõ poteſt. nominatur autem idem & rectus, & nominatiuus, componiturq; cum recta, & indicatiua oratione.

Γενική.

Γενική.

Τῶν δὲ τεσσάρων πλαγίων ἡ μὲν γενικὴ γενεαλογίαις, καὶ κτηματολογίαις συντέτακται. παῖδα γὰρ Σωκράτους φαμὲν, καὶ οἶκον Ἀριστοτέλους. ὅθεν εἴ τις καὶ κτητικὴν καλεῖ, οὐκ ἂν ἁμαρτάνοι.

Genitiuus.

Ex quatuor autem obliquis genitiuus quidem generationis, & poſſeſsionis nominibus ſubiũgitur. filium enim Socratis dicimus, & domũ Ariſtotelis. unde ſi quis & poſſeſsiuum hunc uocet, nihil peccauerit.

Δοτική.

Ἡ δὲ δοτικὴ τὴν τοῦ διδόναι, καὶ χαρίζεσθαι, ἢ ἐπιστέλλειν, καὶ καθόλου τὴν τοῦ περιποιεῖσθαι εἴληχε τάξιν. Γλαῦκος Διομήδει ὅπλα ἐδεδώκει χρυσᾶ, Φέρεκλος Ἀλεξάνδρῳ ἐναυπήγει.

Datiuus.

Datiuus item cum quid datur, largitur ue, aut mittitur, ſiue omnino aliter acquiritur, cõſtructionem habet. Glaucus Diomedi arma dedit aurea, Phereclus Alexandro nauem fabricauit. *Iliados ζ.* *Iliados ν.*

Αἰτιατική.

Ἡ δ' αἰτιατικὴ αἰτιολογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν, οἷον Σωκράτης ἀξιοῖ ἐπαινεῖσθαι διὰ ἀρετήν.

Accuſatiuus.

Accuſatiuus uerò cauſam reddẽtibus potiſſime eſt uſui, ut Socrates dignum putat laudari ob uirtutem.

Κλητική.

Ἡ δὲ κλητικὴ ἐπὶ τὸ καλεῖν τινα, ἢ ἐπιστρέφειν ἀμεταβάτως τοῖς δευτέροις τῶν ῥημάτων προσώποις συντασσομένη. Δεῦρ' ἄγ' ἰὼν πολύαιν' Ὀδυσσεῦ, μέγα κῦδος Ἀχαιῶν.

Vocatiuus.

Cæterum uocatiuus ubi quis accerſendus, excitandusq; eſt, & intranſitiue cum ſecundis uerborum perſonis conſtruitur. Huc ades celeberrime Vlyſes, magnum decus Græcorum. *Homericum.*

Ἀνθυπαλλαγή.

Ἀναμερισθέντων δὴ τῶν ὀνομάτων εἰς πέντε πτώσεις τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων, ἢ παραδεχόμεθα ὡς σχήματα ἅτε διαλέκτου τινὸς συνηθέστερον τὸ τοιοῦτο ἐνδεξαμένης, ἢ ἀπροσδέκτους ποιούμεθα ὡς ἀκαταλλήλους. Ἀττικοὶ μὲν γὰρ τὴν εὐθεῖαν λαμβάνουσιν ἀντὶ κλητικῆς, Μακεδονικὸν δέ, ἢ Θεσσαλικὸν τὸ ἀνάπαλιν. Αὐτὰρ ὃ αὖτε Θυέστ᾽ Ἀγαμέμνονι λεῖπε φορῆναι, πολλῇσι νήσοισι, καὶ Ἄργεϊ παντὶ ἀνάσσειν. ἔνθα γε μὴν ἡ κλητική, καὶ εὐθεῖα συνεμπίπτει, οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔστι λαμβάνειν, ὡς εἴρηται.

Mutua mutatio.

Diſtributis autem nominibus in quinque caſus, recipro cas mutationes caſuũ huiuſmodi aut recẽpimus tanquam figuras, quas linguæ alicuius proprietas frequẽtius admittit, aut omnino reijcimus quaſi incongruas, ineptasq́;. ſolent enim Attici nominatiuum ſumere pro uocatiuo, Macedones uerò, & Theſſali cõtra. Sed quod & Thyeſtes Agamemnoni permiſit geſtare, Multis inſulis, & Argo toti imperare. ubi tamen uocatiuus, & nominatiuus coincidunt, neutrum pro formæ argumento licebit aſſumere, ut dictum eſt.

Linguarũ peculiares mutationes.
Iliados β.

ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Τὸ δὲ ῥῆμα ἐστὶ μὲν λόγου μέρος, προσώπων τε διακριτικόν, καὶ χρόνων διαφόρων προσσημαντικὸν κατὰ διαφόρους μετασχηματισμούς. τί δέ ἐστιν ὁ χρόνος, πλέον ἂν εἴη ἢ κατὰ γραμματικὴν θεωρῆσαί τε, καὶ ὁρίσασθαι. λαβεῖν οὖν καὶ τὸν χρόνον, ὡς καὶ ἄλλα πολλὰ συγκεχυμένως χρῆναί φαμεν, ἀλλὰ καὶ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν κατὰ τὸ πρότερόν τε, καὶ ὕστερον. πλέον γάρ τοι οὐδὲν εἰς τὸ παρόν, ἢ τοῦ διωρισμένου γνῶσις ἡμῖν συμβαλεῖται. Διῃρημένου δ᾽ ἄρα τοῦ χρόνου εἰς ἕξ, ὁ μὲν ἐνεστὼς τὸ ἐνιστάμενον σημαίνει, καὶ ἀτελές. ὁ δὲ παρατατικός, τὸ παρατεταμένον, καὶ ἀτελὲς τοῦ παρῳχημένου. ὁ δὲ μέλλων, τὸ μήπω γεγονός. ὁ δὲ ἀόριστος, τὸ παρεληλυθὸς μέν, καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν, ἢ τὸ πάθος.

πάθος. ὁ δὲ παρακείμενος, τὸ παρεληλυθὸς ἄρτι, καὶ ἐντελὲς τοῦ ἐνεστῶτος. ὁ δὲ ὑπερσυντελικὸς τὸ παρεληλυθὸς πάλαι, καὶ ἐντελὲς τοῦ παρακειμένου.

DE VERBO.

VErbum autem eſt orationis pars, quæ perſonas diſcriminat, temporaq; uaria ſignificat ſecundum diuerſas transformationes. cæterum quid ſit tempus, ſupra Grammatices facultatem fuerit conſyderare, & definire. Sumere ergo tempus ut & alia pleraq; confuſe oportere dicimus, ſed neque exacte, & curioſe inquirere motus numerum ſecundũ prius, & poſterius. ſiquidem nihil ad inſtitutum, niſi definiti cognitio nobis confert. Diſtributo igitur tempore in ſex, præſens quidem rem inſtantem, imperfectamq; ſignificat. imperfectum uerò intentam, atq; imperfectã præteriti. ſed futurũ, quæ nondum eſt. item indefinitũ, quod præterijt quidem & perfecte, nõ definite tamen quantũ ad actionem, paſſionemq;. perfectum autem quod prẽterijt nuper, & perfectio eſt præſentis. pluſquam uerò perfectũ, quod præterijt du-um & perfectio eſt præteriti.

Verbi finitio.

Verbi tẽpora.

ΔΙΑΙΡΕΣΙΣ ΡΗΜΑΤΟΣ.

Διαιρείσθω δὲ τὸ ῥῆμα καὶ πλεῖον ὡδί, τὸ μὲν γάρ τοι προσωπικόν, οἷον λέγω. τὸ δ᾽ ἀπρόσωπον, οἷον χρή. Προσωπικοῦ δ᾽ αὖ τὸ μὲν ἐνεργητικόν, τὸ δὲ παθητικόν. τὸ δὲ οὐδέτερον, οἷον ζῶ. καὶ τὸ μὲν μέσον, οἷον βιάζομαι. τὸ δὲ αὐτοενεργητικόν, μάχομαι. τὸ δὲ αὐτοπαθητικόν, πάσχω. Καλείσθω δὲ καὶ ἕτερόν τι ὁλοενεργητικὸν ἐν τοῖς οὐδετέροις, οἷον τὸ ἀναβαίνω καὶ τρίτον αὐτοουδέτερον, οἷον τὸ πλουτῶ. ὥσπερ αὖ πάλιν καὶ ὁλοπαθὲς ἕτερόν τι τὸ αὐτοενεργητικῷ ἀντιδιαιρούμενον κατὰ γένος τὸ ἐπίμεσον, ἢ ἐπίκοινον. Καλῶ γὰρ ἐπίμεσον, καὶ ἐπίκοινον τὸ παθητικὴν μὲν ἀεὶ ἔχον φωνήν, σημασίαν δὲ τῇ μὲν ἐνεργητικήν, οἷον μάχομαι. τῇ δὲ παθητικήν, οἷον γίνομαι. Ἔτι τε τῶν οὐδετέρων τὸ μὲν ὑπαρκτικόν, τὸ δὲ οὔ. καὶ τὸ μὲν τέλειον, τὸ δὲ ἀτελές. Ἔστι δὲ καὶ τῶν ἀπροσώπων τὸ μὲν ὡς ἐνεργητικόν, οἷον προσήκει. τὸ δὲ ὡς παθητι-

κὸν, οἷον λέγεται. Συμπάντων δὲ τῶν ῥημάτων τὰ μὲν κατ᾽ εἰ-σπομπὴν θεωρεῖσθαι ἔξωθέν τι λαμβάνοντα, τὰ δὲ κατ᾽ ἐκπομπὴν οἴκοθεν προσβάλλοντά τι. τὰ δὲ κατὰ περιποίησίν τε, καὶ ὑπουργίαν. Καὶ τὰ μὲν ἀμεταβάτως, τὰ δὲ μεταβατικῶς. καὶ τὰ μὲν τελέως, τὰ δὲ ἀτελῶς. Σύνταξις δὲ τῶν ἐνεργητικῶν, ὥστε τὴν ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον τέμνω τὸν λίθον, καὶ ἰατρεύω τὸν νοσοῦντα. οἷον δὴ καὶ τὸ παθητικὸν ἐκ προϋφεστώσης διαθέσεως ἐνεργητικῆς ὑποφέρεται, ἰατρεύεται ὁ νοσῶν, τέμνεται ὁ λίθος.

DIVISIO VERBI.

Verbum perſonale. Impſonale.

Diuidatur autem uerbum latius ſic, aliud enim eſt perſonale, ut dico. aliud imperſonale, ut oportet. Perſonale rurſus aliud quidem actiuum, aliud paſſiuũ. aliud neutrum, ut uiuo. aliud item medium, ut cõpello. aliud per ſe actiuum, pugno. aliud per ſe paſſiuum, ut patior. Vocetur autem & aliud omnino actiuum in uerbis neutris, cuiuſmodi eſt cõſcendo. & tertiũ per ſe neutrũ, ut diteſco. Quemadmodum rurſum & omnino paſſiuũ aliud, quod omnino actiuo in diuiſione opponitur ſecundũ genus pluſquam mediũ, aut pluſquã cõmune. Voco autẽ pluſquam mediũ & pluſquam cõmune, quod paſſiuã quidem ſemper habet uocẽ, ſignificationẽ uerò quandoq; actiuã, ut pugno. quandoq; paſſiuam, ut fio. Præterea & ex neutris aliud ſubſtantiuum, aliud minime. item aliud perfectum, aliud imperfectum. Eſt uerò & imperſonale aliud quidẽ quaſi actiuũ, ut conuenit. aliud uerò quaſi paſſiuũ, ut dicitur. Ex omnibus autem uerbis quædam per immiſſionẽ cõſyderentur tanquam forinſecus aliquid aſſumentia, quædã per emiſſionẽ intrinſecus adijciẽtia aliquid, quædã per acqſitionẽ miniſteriumq; ſumantur. Et quædã ſanè tranſitiuè, quædã intrãſitiuè. quædã perfectè, quædã imperfectè. Conſtructio igitur actiuorũ eſt, ut actus in aliquod traducatur ſubiectũ. ut ſeco lapidẽ, & curo ægrotantẽ. quibus ſanè & paſſiuum ex eo quod ipſi ſubeſt genere actiuo ſubinfertur, ut curatur ægrotans, ſecatur lapis.

Pluſquam medium. Pluſquam commune.

Actiuum.

Paſſiuum.

οὐδὲ-

Οὐδετέρων.

Οὐκ ἔτι δὲ καὶ τὰ οὐδέτερα ὁμοίως τοῖς ἐνεργητικοῖς, τὸ γὰρ ὑπάρχω, καὶ ζῶ, καὶ φρονῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω, καὶ τῶν τοιούτων ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ οὐδὲ διὰ τῆς ὁριστικῆς τούτων ἐγκλίσεως ἐνεργοῦντα ἄττα, καὶ πρὸς διατεθέντα περιίσταται. ὥστ' εἴ τις τὰ τοιαῦτα κλίνει εἰς παθητικὰς προφορὰς μελέτημα φωνῆς, οὐ φυσικήν τινα, καὶ *συστατικὴν κλίσιν ποιεῖται. οἷον εἰ καὶ ἀρσενικὸν τὸ γαλουχήσασα, καὶ ἐκτρώσασα λέγοι, ἢ ἕτερόν τι τῶν κατὰ φωνὴν μὲν συμπιπτόντων, ἐν παραδοχῇ δὲ λόγου μὴ δυναμένων. Τὰ μὲν οὖν οὐδέτερα αὐτὸ μόνον ἐμφαίνει ὁρισμὸν τὸ συνεῖναι τὸ σημαινόμενον, οἷον τὸ ζῆν, ἢ φρονεῖν, ἢ γηρᾷν, καὶ τὴν εἰς μαι κατάληξιν οὐ προσίεται τὸ παράπαν. συσατὴν

Neutrorum.

Non item uero & neutra conueniunt cum actiuis,quandoquidem ſum,& uiuo,& ſapio,& diteſco,& ualeo,atq; id genus alia à paſſiua affectione abhorrent. quippe quæ nec per indicatiuum modum aut actionis aliquid, aut paſſionis exhibeāt.quare ſi quis huiuſmodi inflectat in paſſiuas uoceis,dictionem non naturalem aliquam, & conſiſtentē declinationem exercet.ueluti ſi & maſculinum lactans,aut aborta pronunciet, aut alterius huiuſmodi,quę uoce quidem conuenire,acceptione uero, aut ſenſu non poſſunt. Igitur neutra hoc tantum definiunt,nempe adeſſe quod ſignatur.ut uiuere,aut ſapere,aut ſeneſcere,& terminationē in μαι non admittunt.

Μέσων, καὶ αὐτοενεργητικῶν.

Ἀνάπαλιν δὲ τὰ μέσα, καὶ αὐτοενεργητικά. τούτοις γὰρ ἀπαράδεκτον τὸ λήγειν εἰς ω, βιάζομαι, μάχομαι. Δῆλον οὖν ὅτι παρὰ τὸ παθητικοῦ εἰς μαι λήγοντος ἐνεργητικὸν δεῖ παραδέξασθαι, ἐὰν μετὰ τῆς λήξεως καὶ τὰ τῆς συντάξεώς τε, καὶ διανοίας σώσῃ τις. οἷον φιλῶ σε, ὅτι φιλοῦμαι. ἔχει δὲ ἄρα ἅπαντα πτῶσιν προϋφισταμένην ἐκ πρώτου ὀρθήν, ἣ καὶ συμφέρεται ἤτοι λεγομένη, ἢ νοουμένη ἐπὶ πάσης κλίσεως, καὶ ἀριθμοῦ, καὶ προσώπου, καὶ χρόνου. πλὴν τῶν ἀπαρεμφάτων, ταῦτα γὰρ αἰτιατικὴν περιέχει.

Mediorum,& per ſe actiuorum.

Contra uero media,& per ſe actiua.nequeunt enim hæc ſuſcipere terminationem in ω,cogo,pugno.Liquet igitur quod omni paſſiuo in μαι deſinenti licet actiuum ſuſcipere,ſi cum terminatione ea quæ ſunt conſtructionis,& ſenſus ſeruentur.ut amo te,quod amor.habent enim uerba omnia caſum præcedentem à fronte rectum,qui ſemper adeſt uel prolatus,uel intellectus in omni modo,& numero, & perſona,& tempore.præter infinitiua,hæc enim accuſatiuum retinent.

Συμπλοκὴ λόγου.

Ἢ γοῦν ἓν συνάπτεται ἑνί,οἷον Σωκράτης φιλοσοφεῖ. ἢ ἓν δυοῖν,Σωκράτης,καὶ Πλάτων φιλοσοφεῖ. τοῦτο δὲ ἤτοι φύσει,ἢ σχήματι.φύσει μὲν,ἐὰν τὸ ῥῆμα προτάττηται, ἢ μεσοσυλλαβεῖ ἑνικῶς.οἷον φιλοσοφεῖ Σωκράτης,καὶ Πλάτων. Σωκράτης φιλοσοφεῖ,καὶ Πλάτων.

Complexio orationis.

Vel unũ coniungitur uni,ut Socrates philoſopatur.uel unum duobus,Socrates,& Plato philoſophatur. id autem fit aut natura,aut figura. natura quidem,ſi uerbum præponatur,uel interueniat ſingulariter.ut philoſophatur Socrates, & Plato.Socrates philoſophatur,& Plato.

Σχήματι προεπιζευκτικῷ.

Σχήματι δὲ προεπιζευκτικῷ,ἐὰν πληθυντικῶς. φιλοσοφοῦσι Σωκράτης,καὶ Πλάτων.Σωκράτης φιλοσοφοῦσι, καὶ Πλάτων.Ἔτι φύσει μὲν,ἐὰν ἐπιτάττηται πληθυντικῶς. Σωκράτης,καὶ Πλάτων φιλοσοφοῦσι.

Figura præadiunctiua.

Figura autem adiunctiua,ſi pluraliter. philoſophantur Socrates,& Plato. Socrates philoſophantur,& Plato. Rurſum natura,ſi iungantur pluraliter. Socrates, & Plato philoſophantur.

Σχήματι ἐπιζευκτικῷ.

Σχήματι δὲ ἐπιζευκτικῷ,ἐὰν ἑνικῶς. Σωκράτης,καὶ Πλάτων φιλοσοφεῖ. ὧν ἀντίκειται πως τὸ συλληπτικόν, ὥς φασιν

σαν ἡ πληθὺς, καὶ ἐσκίδναντο ἕκαστος. Ἐκδέχονται μὲν οὖν
αἱ πλάγιαι τὰ ῥήματα μεταβατικῶς, οἷς ἀμεταβάτως ἡ
εὐθεῖα συντάσσεται.

Figura adiunctiua.

Figura autem adiunctiua, ſi ſingulariter. Socrates, & Plato philoſophatur. quibus aduerſatur conceptio, ut dixerunt turba, & ſpargebantur unuſquiſque. Recipiunt ergo obliqui uerba tranſitiue, cum quibus intranſitiue rectus conſtruitur.

ΕΙΔΗ ΤΩΝ ΜΕΤΑΒΑΤΙ-
κῶν προσωπικῶν.

Εἴδη δὲ τῆς καθ' ἕκαστα μεταβάσεως τῶν προσωπικῶν
ὑποκείσθω καθόλου τε, καὶ ἁπλᾶ τρία. πρῶτον μὲν εἰς αἰτια-
τικὴν τῶν κατ' ἐκπομπὴν θεωρουμένων ἁπάντων. οἷον διδά-
σκω σε, καὶ διδάσκω γραμματικά. δεύτερον δὲ, εἰς γενικὴν τῶν
κατ' εἰσπομπήν, οἷον δέομαί σου. τρίτον δὲ εἰς δοτικὴν τῶν
κατὰ περιποίησιν, οἷον δίδωμί σοι. Τέτταρα δὲ συγκεί-
μενα ἄττα καὶ τῶν εἰρημένων κοινά, τὸ μὲν εἰς αἰτιατικήν. οἷον
διδάσκω σε τὰ γραμματικά, δέομαί σου τὰ δίκαια, δίδω-
μί σοι χρυσίον, καλείσθω δὲ διαβατικόν. Τὸ δὲ εἰς γενικήν, οἷον
διδάσκω σε τοῦ καλοῦ, δέομαί σου τῆς χρείας, μεταδίδωμί
σοι τῆς φιλίας. καλείσθω δὲ αἰτιολογικόν, ἢ ἐλλειπτικόν. Τὸ δὲ
εἰς δοτικήν, οἷον διδάσκω σε τύχῃ ἀγαθῇ, δέομαί σου ὅλῃ
ψυχῇ, δίδωμί χειρί, καλείσθω δὲ ὀργανικόν. Τὸ δὲ εἰς ἀπαρέμ-
φατον, διχῶς δέ. ἢ γὰρ ὡς εἰς τέλος, ἢ ὡς εἰς εἶδος. ὅθεν
δὴ καὶ τῇ μὲν τελικόν, τῇ δὲ εἰδικὸν καλείσθω. διδάσκω σε
διαλέγεσθαι, δέομαί σου βοηθῆσαι, δίδωμί σοι πείσασθαι,
λέγω Σωκράτην γεγονέναι σοφόν, οἶμαι πάντας ὁμολογή-
σειν. Προσκείσθω δὲ καὶ ἕτερον τὸ εἰς αἰτιατικὴν κοινότερον, διδά-
σκω σε χρόνον συχνὸν τὰ γραμματικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλ-
λων, καλείσθω δὲ ἐλλειπτικὸν δεύτερον. Καὶ ἔτι ἕτερον τὸ ὁ-
μοίως εἰς ὅλον τῶν προσηκόντων ἐπιρρημάτων, ἡ δι' ἧς τὸ
νοεῖν τῆς προθέσεως. διδάσκω σε νῦν ἢ ἰδίως, ἢ ὡς ἂν ἄλ-
λως κατηγορεῖν πρὸς τὴν χρείαν δοκῇ. καὶ οὐδενὸς ἦν δι' ἀχρη-
ματίαν, καὶ ὅπως ἄλλως χρῆσθαι προθέσει κατὰ λόγον ἂν ᾖ.

καλείσθω δὲ τῇ μὲν προσρηματικόν, τῇ δὲ ἑτεροτελὲς, τὸ σύνολον δέ τοι συγκατηγορηματικόν. τὸ δ' ἐλλιπὲς, ἢ πληρέστερον τῆς συντάξεως πρὸς τὸ δοκοῦν ἱκανῶς ἂν ἔχειν ἐστὶ ἐκ τῶν εἰρημένων. οἷον διδάσκω σε διαλέγεσθαι, διδάσκω σε τὰ γραμματικὰ διαλέγεσθαι εὖ. ἐπεὶ κἂν εἰς ἓν συλλαμβάνοντι τὰ συγκείμενα προστιθέναι ἑκάστῳ τῶν ἁπλῶν εἴη ἄν. οἷον δίδωμί σοι χρύσιον τῆς χρείας χειρὶ τῇ ἐμαυτοῦ πρίασθαι, ὧν ἂν δέῃ. φράζειν μέντοι ἐπὶ τὸ σαφέστερον δεῖ ἐπενεχθέντας ἢ σύνδεσμον, ἢ πρόθεσιν, ἢ ἐπίρρημα, ἢ ὡς ἂν ἄλλως εὖ ἔχῃ ἑλληνισμοῦ. οἷον δίδωμί σοι χρύσιον τῆς παρούσης ἕνεκα χρείας, ὅπως πριάμενος ὧν ἂν δέῃ, ἔχῃς. ἢ ὥστε πρίασθαι, ὧν ἂν δέῃ.

SPECIES TRANSITIVOrum perſonalium.

Tres ſpecies tranſitiuorum perſonalium.

Species autem ſingulæ tranſitionis perſonalium ſupponantur generaliterq́; , & ſimpliciter tres. prima eorum omnium, quæ cum actiuo per emiſſionē conſyderata ordinantur. ut doceo te, & doceo literas. ſecunda uero, quæ cū genitiuo per admiſſionem, ut oro te. tertia eorum, quæ cū datiuo per acquiſitionem, ut do tibi. quartæ autem ſunt compoſita quædam prædicta etiam communia, quorum nonnulla cum actiuo. ut doceo te Grammaticam, rogo te quæ ſunt æqua, do tibi aurum, uocentur autē hæc tranſitiua. quædam rurſum cum genitiuo, ut doceo te ob honeſtum, oro te ob neceſſitatem, impartio tibi ob defectum. uocenturq́; hæc cauſalia, uel defectiua. Alia item cum datiuo, ut doceo te fortuna bona, oro te tota anima, do tibi manu, uocantur & hæc inſtrumentalia. quædam cum infinitiuo dupliciter, nempe hæc uel ad finē pertinet, uel ſpeciem, unde & partim quidem finalia, partim uero ſpecifica uocetur. ut doceo te ratiocinari, oro te ut auxilieris, do tibi emendum, dico Socratem fuiſſe ſapientē, puto omnes confeſſuros. Addatur etiam & alia quędam cum actiuo frequentius, ut doceo te longo tempore Grammaticā. ſimiliter uero & in reliquis, uocetur autem hæc & defectiua ſecunda.

cunda. Et item alia quædam pariter ad quodcunq; idonea aduerbium, aut per quancunq; præpoſitionem. doceo te nunc, uel libenter. uel utut alias prædicare pro uſu uiſum fuerit, & imbecillis erat ob defectum pecuniæ. & utcunq; alias uti libuerit præpoſitione, ratio dictauerit. Vocetur itaq; hoc partim aduerbiale, partim diuerſi finis, in ſumma uero comprædicatiuum. Defectum itaq;, ac plenitudinem conſtructionis prout uiſum idoneũ fuerit, colligere eſt ex prædictis. ut doceo te diſſerere, doceo te Grammaticam diſſerere exacte. nam tametſi illi qui in unũ comprehenderit compoſita, addere aliquid ſingulis ſimpliciũ permittatur. ut do tibi aurum uſus cauſa manu propria, ut emas ea, quorum eges. loqui tamen manifeſtus oportet interpoſita uel cõiunctione, uel præpoſitione, uel aduerbio, uel alio quod conueniat Græciſmo. ut do tibi aurum præſentis cauſa indigentiæ, ut comparans quorũ eges, habeas. uel ut emas, quorum eges.

Ἐπιβατικά.

Εἰλήφθω δὲ καὶ τὸ μάχομαι μάχην, καὶ ζῶ ζωήν, καὶ δουλεύω δουλείαν, καὶ πάντα τὰ τοιαῦτα ὡς ἐπιβατικά. καλῶ δὲ ἐπιβατικὸν τὸ τοῦ διαβατικοῦ ἐλλειπτικόν, οἷον διδάσκω γραμματικά.

Tranſitiua.

Recipiuntur autem & hæ orationes, pugno pugnam, uiuo uitam, & ſeruio ſeruitutem, omneſq; ſimiles tanquam acceſſiuæ. uoco enim acceſſiuum, cum trãſitioni aliquid deeſt, ut doceo grammaticam, *Acceſſiuũ.*

ΤΟΠΟΙ ΤΟΥ ΠΡΩΤΟΥ.

Τόποι δὲ τῶν πρώτων τὰ ὁπωσοῦν ἐνεργητικὰ εἴτε ἐπὶ μείζω ἐνέργειαν, οἷον τὸ τιμῶ Σωκράτην. εἴτε ἐπὶ ἐλάσσω, οἷον τὸ λέγω τὰ δέοντα, καὶ φρονῶ τὰ εἰκότα. Σκοπεῖν οὖν εἰ ἐπὶ σωματικὴν διάθεσιν ἀναφέρεται, οἷον γυμνάζω, κινῶ, νίπτω, πλήττω, φθείρω, δύω, δεσμῶ, βρέχω, βιάζομαι, τρίβω, κρατῶ, κείρω, θερίζω, καίω. Ἔτι εἰ ἐπὶ ψυχήν τε, καὶ ἦθος. φιλῶ, ἀγαπῶ, στέργω, δικαιῶ, ἀδικῶ, βλάπτω, ὠφελῶ, ὑβρίζω, αἰνῶ, λοιδορῶ. Ἔτι ἐπιδεικτικά, ἐπαινῶ, ἐγκωμιάζω, ὑμνῶ, ᾄδω, συλλέ-

γω. Ἔτι εἰ σεπτικὰ, τιμῶ, σέβω, πρεσβεύω, προσκυνῶ, κολακεύω, αἰδοῦμαι. Ἔτι εἰ ὑπονοητικὰ, καὶ δοξαστικὰ, ἢ γνωστικά. νοῶ, κρίνω, οἶδα, οἴομαι, ὑφορῶμαι. Ἔτι εἰ προαιρετικὰ, βούλομαι, προαιροῦμαι, ἐθέλω. Ἔτι εἰ ζητητικὰ, ἐξετάζω, ἀνακρίνω, ἐρωτῶ, ἐρευνῶ, εὑρίσκω. Ἔτι εἰ ἐπικρατητικὰ, ἔχω, φυλάσσω, ἀναγκάζω, εἴργω, ἐλαύνω, νικῶ. Ἔτι εἰ προτρεπτικά, παρακαλῶ, ἐρεθίζω, προτρέπω, παρορμῶ, παροξύνω. Ἔτι εἰ κλητικὰ, φωνῶ, ὀνομάζω, καλῶ. Ἔτι εἰ ἐπιστημονικὰ, οἰκοδομῶ, σκυτοτομῶ, ἰατρεύω. Ἔτι εἰ διακρουστικὰ, πλανῶ, ἐξαπατῶ, φενακίζω, κλέπτω, παραλογίζομαι. Ἔτι εἰ διδασκαλικὰ, ἢ μαθητικά. παιδεύω, σωφρονίζω, πείθω, διδάσκω, ψύχω, θερμαίνω, διατίθημι. Ἔτι εἰ οἰκτικὰ, ὀδύρομαι, κλαίω, θρηνῶ, οἰκτίζω, ἐλεῶ. Ἔτι εἰ ἱκετευτικὰ, ἀντιβολῶ, ἱκετεύω, ἐκλιπαρῶ, λιτανεύω, ἐρωτῶ, ἐν ἴσῳ τὸ παρακαλῶ, γονοῦμαι. Ἔτι εἰ συμβολαίων σημαντικὰ, πωλῶ, ἀγοράζω, συμβάλλω. Ἔτι εἰ φυσικὰ, οἷον γεννῶ, καὶ φύω, καὶ αὔξω, αἰτιατικῇ γὰρ τὰ τοιαῦτα.

LOCI PRIMAE SPECIEI.

Primi ordinis trāſitiua cum accuſatiuo.

Loci uero primæ ſpeciei uerba quomodocūq; actiua, ſi ue ſecundū maiorē actionem, ut honoro Socratē. ſiue minorē, ut dico conuenientia, & ſapio uериſimilia. Videndū igitur eſt, ſi ad corporalem affectionem pertineant. ut exerceo, moueo, lauo, percutio, corrumpo, ſoluo, ligo, irrigo, compello, tero, teneo, tondeo, meto, uro. Itē ſi ad animū, & mores. amo, diligo, amo, iuſte facio, offendo, lædo, proſum, uitupero, diſcrutior, conuitior. Item laudatoria, laudo, decanto, cano, benedico. Itē ſi uenerатiua, honoro, colo, intercedo, adoro, adulor, reuereor. Item ſi ſuſpectiua, opinatiuaq;, aut cognitiua. intelligo, iudico, noui, puto, ſuſpicor. Item ſi electiua, uolo, eligo, uolo. Item ſi inquiſitiua, indago, inquiro, interrogo, inueſtigo, inuenio. Item ſi obtentiua, habeo, ſeruo, cogo, prohibeo, propello, uinco. Item ſi admonitiua, adhortor, prouoco, admoneo, promo ueo, extimulo. Item ſi uocatiua, uoco, nomino, uoco. Item ſi ad artificiū pertinēt, ædifico, coria paro, curo. Item ſi ad deceptionē, ſeduco, decipio, fucum facio, furor, impono

pono rationibus. Item ſi doctrinalia, uel affectiua. inſtituo, caſtigo, ſuadeo, doceo, refrigero, calefacio, diſpono. Item ſi funebria, lugeo, ploro, lamentor, defleo, miſereor. Item ſi precatiua, ſupplico, obſecro, ſupplico, rogo, ſimiliter conſolor, aduoluor genibus. Item ſi contractuum ſignificatiua, uendo, auctionor, confero. Poſtremo ſi naturalia, ut gigno, & produco, & augeo, actiuo enim iunguntur huiuſmodi.

Τόποι τοῦ δευτέρου.

Τοῦ δὲ δευτέρου τὰ κατ' αἴσθησιν ἀναληπτικά, οἷον αἰσθάνομαι, ἀκούω, ἅπτομαι, γεύομαι, ὀσφραίνομαι, ἐρῶ, ἐπιθυμῶ. τὸ δὲ ὁρῶ αἰτιατικῇ διὰ τὸ ἐναργεστάτην εἶναι τὴν ὄψιν, καὶ ὡς δὴ πλέον διήκειν. καὶ τὰ τούτοις συνωνυμοῦντα, ὁρῶμαι, θεῶμαι. Καὶ τὰ φροντιστικά τε, καὶ κτητικά. φροντίζω, ἐπιμέλομαι, φείδομαι, ἀπολαύω, κοινωνῶ, μετέχω, μέμνημαι. Καὶ τὰ ἀρχικά, βασιλεύω, δεσπόζω, κυριεύω, τυραννῶ, ἄρχω, κρατῶ. εἶεν δ' ἂν καὶ ὡς κτητικὰ ταῦτα. Καὶ τὰ διαφορικά, καὶ τὰ ἀποστηματικά, καὶ ἐκστατικά. διαφέρω, χωρίζομαι, ἀπέχω, στέρομαι, ἁμαρτάνω.

Loci ſecundæ ſpeciei.

Secundæ ſpeciei autem ſunt per ſenſum apprehenſiua, ut ſentio, audio, tango, guſto, olfacio, amo, deſydero. atqui uideo actiuo iungitur, quod manifeſte actiuus ſit uiſus, maximeq; penetret, & cætera his ſynonyma. aſpicio, contemplor. Et cogitatiua, & poſſeſſiua. cogito, curo, parco, fruor, communico, participo, memini. Et quæ ſunt principatus, rego, dominor, dominor, impero, impero, impero, ſint uero tanquam poſſeſſiua & hæc. Et differentialia, & ſeparatiua, & exceſſiua. differo, ſeparo, abſtineo, priuo, pecco.

Secundi ordinis tranſitiua cũ genitiuo.

Τόποι τοῦ τρίτου.

Τοῦ δὲ τρίτου τὰ περιποιητικά, καὶ ἀντιπεριποιητικά. οἷον δίδωμι, πέμπω, λέγω, χαρίζομαι, ἀντιλέγω, παλαίω, ἐναντιοῦμαι, ἀμφισβητῶ, μάχομαι. Καθόλου δὲ πᾶν ῥῆμα ὅπως ἂν ἔχῃ, καὶ ὡς περιποιητικὸν ἔστι λαμβάνειν ταυτό. ὠφελῶ γάρ τοι ἀνθρώπους, ἀλλὰ καὶ ὠφελῶ ἀνθρώπους τῇ πόλει. διδάσκω τὸν

νέον, καὶ διδάσκω σὺ τὸν νέον. ὥσπερ ἄρα καὶ πᾶν εἴη ἂν ἐνεργείας ἐλάσσονος ἐνεργητικὸν, ἀναδμὴν ὁπόσα ἔδει τοῦ ἀνδρός. ἐχρησάμην πάμπολλα τῷ ἀνδρὶ, ὠφέλησα προθύμως τὰ δυνατά. εἰλήφθω δὲ καὶ ὡς περιποιητικὸν καὶ τὸ δουλεύω, καὶ πιστεύω, καὶ ὑπηρετῶ, καὶ ἀκολουθῶ, καὶ εἴκω, καὶ τὰ ὅμοια.

Loci tertiæ ſpeciei.

Tertij ordinis uerba cum datiuo.

Quæ uero tertiæ ſpeciei, acquiſitiua ſunt, & reacquiſitiua. ut do, mitto, dico, gratulor, contradico, luctor, aduerſor, dubito, pugno. Generaliter autem omne uerbũ quodcunque fuerit, tanquam acquiſitiuum licet accipere. iuuo enim homines, ſed & iuuo homines ciuitati. doceo iuuenem, ſed & doceo tibi iuuenem. quemadmodum etiam omne actionis inferioris actiuum eſſe poterit, ut emi quęcunq; opus erant homini, uſus ſum in multis uiro. iuui libenter in his, quantum potui. Sumatur quoq; tanquam acquiſitiuum & ſeruio, & credo, & ſubſeruio, & ſequor, & pareo, & ſimilia.

ΠΕΡΙ ΣΥΓΚΕΙΜΕΝΩΝ.

Δῆλον δ' ἐκ τούτων καὶ ὅπως τοῖς συγκειμένοις χρησόμεθα, ἐκ γὰρ τῶν εἰρημένων ἁπλῶν συνθέντες ὡς ἂν τὰ τῆς χρείας, καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα.

DE COMPOSITIS.

Manifeſtum autem ex his, quo nam pacto compoſitis utamur. ſiquidem ex dictis ſimplicibus componentes prout uſus, ſententiaq́; exegerint, loquemur.

Διαβατικῶς.

Ἤτοι διαβατικῶς, εἰ δέοι τοῦ κατ' ἐνέργειαν πράγματος. οἷον ὠφελῶ ἀνθρώπους τὰ δυνατὰ, παρέχομαι χρήματα ἀνδρὶ πένητι.

Tranſitiue.

Aut trãſitiue, ſi opus fuerit, quę in actione eſt re. ut iuuo homines pro uirili mea, erogo pecunias uiro pauperi.

Αἰτιολογικῶς.

Ἢ αἰτιολογικῶς, καὶ ἐλλειπτικῶς, εἰ δέοι τῆς αἰτίας τῆς ἐνεργείας. οἷον ἐπαινῶ Σωκράτην τῆς ἀρετῆς, ὠνοῦμαι πυροὺς στατήρων.

στατήρων τριῶν, μεταδίδωμί σοι τοῦ περιόντος.

Cauſaliter.

Aut cauſaliter, & defectiue, ſi opus fuerit cauſa ex qua actus. ut laudo Socratem ob uirtutem, emo frumentū ſtateribus tribus, impertior tibi è ſuperfluo.

Ὀργανικῶς.

Ἢ ὀργανικῶς, εἰ ὅθεν ἡ κατ' ἐνέργειαν κίνησις φάναι δέοι, οἷον φθόνῳ οὐκ ἐπαινεῖ Κλέων τὰ καλά.

Inſtrumentaliter.

Aut inſtrumētaliter, ſi unde actionis motus dicere oportet, ut per inuidiam non laudat Cleo honeſta. *Ariſtophanicum.*

Τελικῶς.

Ἢ τελικῶς, εἰ τὸ οὗ ἕνεκα δέοι προσθεῖναι, οἷον τάττω σε προηγεῖσθαι τῶν ἄλλων.

Finaliter.

Aut finaliter, ſi alicuius cauſam oportet addere, ut conſtituo te ducem aliorum.

Εἰδικῶς.

Ἢ εἰδικῶς, εἰ τὸ καθ' ὃ σημαίναι δοκεῖ, οἷον φησὶ σὺ περὶ τὸν βασιλέα ἐληλυθέναι.

Specialiter.

Aut ſpecialiter, ut ſi quid fiat, ſignificandum uidetur, ut ait regios ueniſſe.

Ἐλλειπτικῶς.

Ἢ ἐλλειπτικῶς τῆς κατὰ, δῆλον δ' ἐκ τῆς τῶν τόπων ἐκθέσεως.

Defectiue.

Aut defectu huius præpoſitionis κατὰ, quod liquebit ex locorum expoſitione.

ΤΟΥ̂ ΤΕΛΙΚΟΥ̂.

Τόποι δὲ τοῦ τελικοῦ, ἔνθα τὸ ἵνα ἁρμόττει. οἷον τάττω σε, ἵνα προηγῇ τῶν ἄλλων.

FINALIS.

Loci uero finalis, ubi ut congruit. ut conſtituo te, ut dux ſis aliorum.

Τοῦ εἰδικοῦ.

Τοῦ δὲ εἰδικοῦ, ἔνθα τὸ ὅτι. φασίν, ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα.

Specifici.

Specifici uerò, ubi quòd. aiunt quod uenerunt, qui aſtant Regi.

Τοῦ ἐλλειπτικοῦ.

Τοῦ δὲ ἐλλειπτικοῦ δευτέρου, ἔνθα χρόνου δηλῶσαι δέοι ποσόν, οἷον ἔζησεν ἔτη πολλά. ἢ τὸ ἀπ' αὐτοῦ τοῦ ἐνεργοῦντος προσώπου, καὶ πάσχοντος. οἷον φθείρεις τὰ κοινά, τὸ σὸν μέρος. ἢ τὸ κατά τι, οἷον ἓν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες, καὶ σοφὸς τὰ μηχανικά. ἢ τὸ αἴτιον οὐ πάντως τοῦ ὀργανικοῦ ἀνομοίως, οἷον πάντα δὲ ταῦτα γέγραφε τὸν εἰρημένον τρόπον, ὃν ἂν εἰς βιβλίον κατάθοιτο.

Defectiui.

Defectiui autem ſecundi, ubi temporis oſtēdere oportet quantitatē, ut uixit annos multos. aut quod ab eadē agente perſona, & patiēte pendet. ut cōſumis cōmunia, tuā partē. aut ſecundū quod, ut unum pariūt plerunq; fœminæ, & ſapiens in mechanicis aut cauſam, quod nō omnino eſt inſtrumentali diſſimile. ut omnia autē hæc ſcripſit ſecundū prædictum modū, quo in librum redegerit.

Τόποι τοῦ αἰτιολογικοῦ, καὶ ἐλλειπτικοῦ.

Ὑποκείσθωσαν δὲ καὶ τοῦ αἰτιολογικοῦ, καὶ ἐλλειπτικοῦ τόποι τοιοίδε σκοπεῖν εἰ ἀνταλλαγματικῶς, καὶ ἀποτιμητικῶς ὠνοῦμαι, πωλῶ, ἀλλάττω, ἀποτιμῶ. Ἔτι εἰ πληρωτικῶς, γεμίζω, πληρῶ, κενῶ. Ἔτι εἰ διαιρετικῶς τε, καὶ ἀφοριστικῶς, καὶ ἐκστατικῶς, καὶ ἐφεκτικῶς. γυμνῶ, ἀπαλλάττω, ἀφίστημι, ἀπολύω, κωλύω, ἀναστέλλω, συγχωρῶ, ὑπείκω, κουφίζω, ἀμβλύνω, καθαίρω, περιαιρῶ, ψεύδω. Ἔτι εἰ ὑποδεκτικῶς, καὶ εἰς ἀρετὴν ἀποδεκτικῶς. ἐπαινῶ, θαυμάζω, εὐδαιμονίζω, ζηλῶ, ἀποδέχομαι. Ἔτι εἰ μετουσιαστικῶς τε, καὶ μεταδοτικῶς. κοινωνῶ, μετέχω, μεταδίδωμι, ἀξιῶ. Ἔτι εἰ φιλικῶς, ἢ οἰκτικῶς. φιλῶ, ἀγαπῶ, ἐλεῶ, οἰκτείρω. Καθόλου δὲ τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον, μέμφομαί σοι ἀχαριστίας, αἰτιῶμαί σε διαβολῆς, κατηγορῶ

τηγορῶ σου κλοπῆς. Ἔτι εἰ ἀκαταφάσει χρόνου τῶν ἡκόντων ἐντελοῦς δέοι πόσον χρονικὸν περιβεβλεῖσθαι. οὐκ ἦλθον, οὐκ εἶδον, οὐκ εἶπον χρόνου πολλοῦ. Ἔτι εἰ τὸ ἐγγὺς τοῦ γενέσθαι, καὶ τὸ παρὰ μικρὸν συμβεβηκέναι τι δηλῶσαι δέοι. μικροῦ παρῆλθον, μικροῦ διέφυγον. Ἔτι εἰ ἀπὸ μέρους, οἷον κρεμῶ σε ποδός, πίνω τοῦ ὕδατος, δρέπομαι τῶν ἀνθέων. Ἔτι εἰ καιροῦ ὡρισμένου χρεία, οἷον ἡμέρας τε, καὶ νυκτὸς ἐργάζεται, ἑσπέρας ἥκει. χειμῶνος, καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι. Φανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως διοίσει τε ἑαυτοῦ περὶ εἶναι, καὶ διαφόρως προσαγορευθήσεται, καὶ συντάξεται. οἷον τὸ λύω σωματικὸν μὲν, ἢ διὰ σωματικῆς ἐνεργείας περὶ λύοντι. διαιρετικὸν δὲ, ἢ τὸ λυόμενον γίνεται ἔξω δεσμοῦ. παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον, καὶ πρὸς τὸ ὑπονοούμενον ἀεὶ συντακτέον.

Loci cauſalis,& defectiui.

Subijciendi uerò ſunt & cauſalis,& defectiui loci huiuſmodi, ut conſyderemus ſi permutatiue,& licitatiue.emo, uendo,muto,licitor. Itern repletiue, impleo, repleo,euacuo. Item diſcretiue, & ſeparatiue,ac prohibitiue. denudo,libero,recedo,abſoluo, ueto,remitto,permitto,conçedo,leuo,obtundo,attollo,circũfero, fallo. Item ſi demonſtratiue,& ob uirtutem receptiue. laudo, admiror,beatifico,æmulor, excipio. Item ſi materialiter, & participatiue. communico, participo,impartior,dignor. Item ſi amatorie,ſeu cõmiſeratiue. amo,diligo,miſereor,miſereor. Generaliter uerò quod circa cauſam deficit,accuſo te ingratitudinis, arguo te calumniæ, criminor te furti. Item ſi per negationem temporis præteriti perfecti opus fuerit, quantum tranſierit definire.non ueni,nõ uidi,non dixi à tempore multo. Item ſi inſtitiſſe,& propè cõtigiſſe quicquam demonſtrare oportebit. parum abfuit,quin uenirem,propemodum effugiſſem. Item ſi à parte,ut ſuſpendo te pede, bibo aquã,decerpo flores. Item ſi temporis definito opus fuerit,dieq; & nocte operatur,ueſperi uenit. hyeme,& uere uentres calidi ſunt. Manifeſtũ ergo quod idem uerbum

Exemplum ex Hippocrate.

acceptũ uarijs modis diſcrepabit à ſemetipſo, id quod eſt, & diuerſis modis prædicabitur, ac conſtruetur. ut ſoluo corporale quidẽ, quatenus opus eſt corporali actu ſoluenti. diſcretiuũ uerò, quatenus ſolutum eximitur à uinculo. conſimili modo in cæteris conſyderandum eſt, & ad intellectum ſemper conſtruendum.

ΠΑΘΗΤΙΚΟΝ.

Τὸ δὲ παθητικὸν δῆλον ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν συντάξεται· κοινὸν μὲν τὴν ἐκ πρώτου ὀνομαστικὴν ἔχον, ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπό, ἢ τῇ πρός, ἢ τοῖς ἴσοις, ὡς εἴρηται ἀντεστραμμένως τοῖς ἄκροις, Σωκράτης φιλεῖ Φαῖδρον. Φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. Κοινὸν οὖν καὶ τὸ ἐκ τετάρτου καὶ ὁμοιόπτωτον, πλὴν τῶν κλητικῶν, ταύτῃ γὰρ πρὸς εὐθεῖαν, καλοῦμαι Σωκράτης. λέγομεν οὖν, Βυβλίον πωλεῖται ὑπὸ Κορίσκου στατήρων πολλῶν, χρυσίον δίδοται πρὸς τοῦ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως, οἷον πλήττομαι τὸν πόδα, ἀλγῶ τὴν κεφαλήν.

PASSIVVM.

De paſſiuo ex cõſtructione. Manifeſtum autem, quod paſſiuũ totidem modis, quot actiuũ conſtruitur cõmuniter quidẽ à fronte nominatiuũ habẽs, peculiariter uero à tergo genitiuũ ſimul cum à, uel ab, uel ſimilibus, ut dictum eſt cõuerſis extremis, Socrates amat Phædrũ. Phædrus amatur à Socrate, & docetur ab eodem. Fit plerunq; etiã ex quarto loco coincidentia caſuũ, præterq̃ in uerbis uocandi quæ ſic cum recto proferũtur, uocor Socrates. dicimus igitur, liber uenditur à Coriſco ſtateris multis, aurũ datur à diuite pauperi. Peculiaris uerò admodum eſt paſſiuo ſynecdochica cõſtructio, ut percutior pedem, doleo caput.

Οὐδετέρων ὑπαρκτικός.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐκ τρίτου συντάσσεται, Σωκράτης ἐστίν, ἢ τυγχάνει λευκός. τὸ γε μὴν τυγχάνει βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου, Σωκράτης τυγχάνει ὢν ἀγαθός. ἢν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ᾖ, οὐδενὸς δεῖ

ἐκ

ἐκ τετάρτου. ἐντελῶς γὰρ φαμὲν, Σωκράτης τυγχάνει περιπατῶν, ἢ διαλεγόμενος, τἄλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν.

Neutrum ſubſtantiue.

Ex neutris autem quod ſubſtantiuum eſt, cum nominatiuo à tergo conſtruitur. ut Socrates eſt, uel exiſtit albus. quamuis exiſtit melius nominatiuum participij à tergo regat, Socrates exiſtit ens bonus. Quod ſi participiũ ſubſtantiui nõ ſit, nullo opus erit in quarto. perfecte enim dicimus, Socrates ens eſt ambulans, uel differẽs. Reliqua aũt communia cum actiuo habet. *Verbi τυγχάνω cõſtructio.*

Κτητικῶς.

Τῶν τε οὖν κατ' εἰσπομπήν τε, καὶ κτῆσιν ἡ ἐκ τρίτου γενική. χρήζω, διέχω, πληθύω, δέω, ἀπορῶ, εὐπορῶ, ἀμοιρῶ, ἀπολαύω, τρυφῶ, ὄζω.

Poſſeſſiue.

Ab his uero quæ per immiſſiua, ac poſſeſſiua dicuntur, tertij ordinis genitiuus regitur. indigeo, diſto, repleo, egeo, indigeo, abundo, ſum expers, fruor, delitior, oleo. *Neutra poſſeſſiua.*

Ὀργανικῶς.

Βρίθω δὲ, καὶ εὐθενῶ ὀργανικῶς δοτικῇ. καὶ ὅλως τῶν ἀπολελυμένων, εἰ δοκεῖ προστιθέναι. οἷον ἀγρυπνῶ, καὶ γρηγορῶ, καὶ ζῶ. καὶ πλουτῶ ἀρετῇ, ἢ διὰ ἀρετὴν, ἢ ὅπως ἂν ἄλλως ἐγχωρῇ φράζειν τὸ αἴτιον. Τῶν δὲ περιποιητικῶν ἡ δοτική, συμβαίνω, ὑπάρχω, ὑποχωρῶ, εἴκω. ὁμοίως δὲ καὶ ἤδη τῶν λοιπῶν συντακτέον, κατὰ τὰ κοινῇ εἰρημένα.

Inſtrumentaliter.

Onero uero, & ualeo inſtrumentaliter cum datiuo, & uniuerſaliter abſoluta, ſi placet addere. ut uigilo, & uigilo, & uiuo. & diteſco uirtute, uel per uirtutem, uel utcunque aliter contigerit exprimere cauſam. Verũ acquiſitiua cum datiuo, contingo, adſum, cedo, cedo. Conſimiliter uero & reliqua ordinanda, ſecundum communiter dicta. *Neutra inſtrumentalia.*

Αὐτοπαθητικόν.

Τὸ δ' αὐτοπαθητικὸν οὐδέτερον μέν ἐστι καὶ αὐτὸ, ὡς μὴ μετασχηματιζόμενον τῇ μὲν εἰς παθητικὴν σημασίαν. αὐτοπα-

θητικὸν δὲ κληθὲν ἀνὰ μέρος εἴληπται, ἢ πάθος ἀφ' ἑαυτοῦ τυγχάνει δηλοῦν. καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ, καὶ τῷ αὐτοδιετέρῳ. οἷον τὰ πάσχω, φθίνω, ἔῤῥω, ἀλγῶ, φρίττω, πυρέττω, ἐρυθριῶ, νοσῶ, ἀποθνήσκω, καὶ τὰ ὅμοια. Σύνταξις δὲ τοῦ τοιούτου ἡ αὐτὴ τοῖς παθητικοῖς, ὡς εἰκός. πάσχει ὑπὸ τοῦ ποιοῦντος, φθίνει ὑπὸ διαφθείροντος. Τὸ δ' ἐκ τοῦ, καὶ καθ' ὅ, καὶ δι' ὅ, καὶ ὅλως τὸ αἰτιολογικὸν κοινόν. καὶ ἔτι τὸ ἐπιβατικόν, καὶ τὸ συνεκδοχικὸν τῆς συντάξεως. πάσχω ταῦτα, καὶ νοσῶ νόσον, καὶ ἀλγῶ τὴν κεφαλήν.

Per ſe paſſiuum.

Neutra per ſe paſſiua.

Per ſe autem paſſiuum, neutrum quoq; & ipſum eſt, ueluti non transformatum per μαι ad paſſiuam ſignificationem. nam quod per paſſiuũ uocetur, ex parte ſumptum eſt, quatenus paſſionem ex ſeipſo ſignificat, & in diuiſione opponitur omnino actiuo, ac per ſe neutro. ut patior, corrumpo, pereo, doleo, horreo, febricito, erubeſco, ægroto, morior, & ſimilia. Conſtructio autem huius eadem cum paſſiuis, uti par eſt. ut patior ab agente, tabeſcit à corrumpente. Et quod ex eo eſt, uel in quo, uel per quod, & omnino quod cauſam refert, commune eſt. item acceſſiua, & ſynecdochica conſtructio.. patior hæc, & ægroto ægritudinem, & doleo caput.

ὁλοενεργητικόν.

Τὸ δὲ ὁλοενεργητικὸν τὴν πρὸς αἰτιατικὴν βούλεται σύνταξιν, οἷον φεύγω σε, λανθάνω, καὶ κρύπτω, καὶ παραλλάττω, καὶ παρελαύνω, καὶ θέλω, καὶ ἀναβαίνω.

Omnino actiuum.

Cæterum omnino actiuum appellatum cum accuſatiuo uult conſtrui, ut fugio, & lateo, & abſcondo, & differo, & impello, & uolo, & aſcendo.

Αὐτοδιέτερον.

Τοῦ δὲ αὐτοδιετέρου ἡ αὐτὴ σύνταξις τοῖς ἀπολελυμένοις ἐστίν, ἀπολελυμένον γάρ τι καὶ τὸ τοιοῦτο οἷον ζῶ, πλουτῶ, ὑγιαίνω. δῆλον οὖν ὅτι πρὸς τὰς διαφόρους τῶν αὐτῶν δυνάμεις, καὶ χρήσεις τὴν σύνταξιν ποιητέον κατὰ τὰ ὑποτεθέντα.

τα. ἀναβαίνω τὸ ὄρος, τρέχω ἐπὶ τὴν ἀγορὰν, ἀλλὰ καὶ τρέχω τὸ στάδιον. τὸ μὲν ἀτελῶς, τὸ δὲ ὁλοενεργητικῶς.

Per ſe neutrum.

At per ſe neutri eadem etiam conſtructio cum abſolutis eſt, abſolutum nanque & quod huiuſmodi. ut uiuo, diteſco, ualeo. manifeſtum ergo eſt ſecundum diuerſas horum uirtutes, & uſus, conſtructionem accommodandam eſſe ad ſubiecta. ut aſcendo montem, curro ad forum, ſed & curro ſtadium .. alterum quidẽ imperfecte, alterum uero omnino actiue.

Μέσον.

Τῶν δὲ μέσων ἤτοι τῶν κοινῶν ἡ αὐτὴ σύνταξις, καὶ αὐτοῖς τοῖς ἐνεργητικοῖς, καὶ παθητικοῖς, ἀμφοτέραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι. θύομαι οὖν τῷ θεῷ, καὶ θύομαι ὑφ᾽ ἑτέρου τῷ θεῷ καὶ βιάζομαι τὸν ἐχθρὸν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. Καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη σχηματιστέον, καὶ συντακτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα, καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

Medium.

Medijs autem, ſiue communibus eadem cõſtructio eſt quæ actiuis, & paſſiuis, ſiquidem ambobus inſeruiunt affectibus. ſacrifico igitur Deo, & ſacrificor ab alio deo. & lædo inimicũ, & lædor ab inimico. Et generaliter ſecundum præſcriptas ſpecies & formandum, & conſtruendum eſt. laudabo uirtutem, uti par eſt, & laudabor ab amico. *Mediorũ uerborum conſtructio.*

Ἐπίμεσον.

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικὸν τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν, τὸ δὲ ὁλοπαθητικὸν τὴν αὐτὴν τῷ παθητικῷ. ἐνεργητικῆς γὰρ ἀμοιροῦν εὐχρήστου γε προφορᾶς παθητικῶς σημαίνει τι παθητικόν, γίνομαι, οἴχομαι, κοιμῶμαι.

Pluſquàm medium.

Verbum uero pluſquàm medium id quod per ſe actiuum eſt, eandẽ cum accuſatiuo conſtructionẽ habet, quandoquidẽ & ſignificatiuum actionis eſt. quod aũt omnino paſſiuum, eandẽ quoq; cum paſſiuo. actiuæ enim expers

exiſtens uſitatæ quidem uocis paſſiue ſignificat quiddam paſſiuum. fio, pereo, dormio.

Τόποι ὑπερμέσου.

Σκοπεῖν δὲ καὶ περὶ τοῦ ὑπερμέσου τοῦδε, εἰ περιποιητικὸν, ἢ ἀντιστατικὸν, καὶ ἐναντιωματικόν. ταῦτα γὰρ δοτικῇ ὡς τὸ τρίτον, χρῶμαι, ἥδομαι, ἱππάζομαι, μάχομαι, ἀγωνίζομαι, ἐναντιοῦμαι, ὀργίζομαι, αὐθίσταμαι. Ἔτι εἰ ὑπερκρατείας σημαντικόν, αἰτιατικῇ γὰρ ὡς τὸ πρῶτον. κέκτημαι, ὠνοῦμαι, μιμοῦμαι. Ἔτι εἰ ἀτελὲς, ἀπαιτεῖ γὰρ τὸ εἴς τι, ἢ ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη. πορεύομαι Ἀθήναζε, ᾠχόμην ὡς τὸν θεὸν, κάθημαι, ἢ κεῖμαι ἐνταυθοῖ. Ἔτι εἰ κατ' αἴσθησιν ἀναληπτικὸν, ἢ ἄλλως ἀντιληπτικὸν καθ' ὑπεροχὴν, ἢ ὀρεκτικόν. γενικῇ γὰρ ταῦτα ὡς τὸ δεύτερον, ἅπτομαι, ὀσφραίνομαι, γεύομαι, ὀρέγομαι, ἐφίεμαι, περιέχομαι, ἀντιλαμβάνομαι, περιγίνομαι. Κοινὸν δὲ ἡ τοῦ αἰτίου χρῆσις ἁπανταχοῦ δι' ὅ, ἐφ' ὅ, ἵνα καὶ ὅπως ἂν ἄλλως φράζειν ᾖ πρὸς τὰ δόξαντα.

Loci pluſquàm medij.

Conſyderandum & de pluſquàm medio hoc, ſi acquiſitiuum, uel repugnatiuum, aut aduerſatiuum. nam hæc cum datiuo ut ea quæ ſunt tertij ordinis, conſtruuntur. utor, delector, equito, pugno, certo, aduerſor, iraſcor, obſiſto. Rurſum ſi dominij, ac poſſeſſionis ſignificatiuũ, cum accuſatiuo enim ut quæ ſunt primi ordinis. poſſideo, emo, imitor. Præterea an imperfectum, poſtulat enim id ad quod, uel in quo fiat modo, ut in neutris dictũ eſt. uado Athenas, ibam ad Deũ, ſedeo, uel iaceo hic. Item num per ſenſum apprehenſiuum, aut aliter ſuſceptiuum per excel-
Ariſtophanes lentiam, aut appetitum. nam cum genitiuo hæc, ut quę ſe-
Pluto. cundi ordinis. attingo, olfacio, guſto, appeto, cupio, abſtineo, cõtra accuſo, ſuperſum. Communis enim cauſæ uſus ubiq; propter quid, ad quid, ut & quomodocunque aliter loquendum uidebitur.

Ἀπρόσωπον.

Τῶν δ' ἀπροσώπων ὀνομαζομένων διὰ τὸ μὴ περιστάναι πρόσωπον, τὰ μὲν καθ' αὑτὰ κεῖται ἥκιστα πρὸς ἕτερον συν-

τάττεται

τάττεσθαι πεφυκότα, οἷον τὰ παθητικά. λέγεται, εἴρηται, λείπεται, θύεται, εἰρήσθω, καὶ τὰ ὅμοια. πλὴν εἰ μὴ περιποιητικῶς, οἷον ἤκουσταί μοι, καὶ ἔγνωσταί μοι. καὶ ὡς τὰ παθητικά, ἤκουσται ὑπ' ἐκείνων.

Imperſonale.

Eorum autem quæ imperſonalia appellantur, quia non exhibeant perſonam, quædam per ſe iacent nequaquam alteri coniungi nata tanquam paſſiua. dicitur, dictum eſt, relinquitur, ſacrificatur, dictum ſit, & ſimilia. niſi ſumantur acquiſitiue, ut auditum eſt mihi, & cognitum eſt mihi. uel tanquam paſſiua, auditum eſt ab illis.

Κτητικόν.

Τὰ δὲ πρὸς ἕτερον ἢ κτητικῶς, ἢ περιποιητικῶς, ἢ ἐπιβατικῶς. τὸ μὲν οὖν κτητικὸν εἰς γενικήν, καὶ ἅμα δοτικὴν περιποιητικῶς. μέτεστι τούτου ἐμοί, διαφέρει, ἢ μέλει, ἢ δεῖ, ἢ προσήκει τούτου ἐμοί.

Poſſeſſiuum.

Quædam uero ad aliud uel poſſeſſiue, uel acquiſitiue, uel tranſitiue. itaq; poſſeſſiuũ cum genitiuo, & ſimul cum datiuo acquiſitiue. communio eſt huius mihi, refert, curæ eſt, oportet, uel conuenit huius mihi.

Περιποιητικόν.

Τὸ δὲ περιποιητικὸν εἰς ἀπαρέμφατον, καὶ δοτικήν. ὡς εἰκός, ἔξεστι, συμβαίνει, προσήκει, πρέπει, δοκεῖ τῇ βουλῇ, καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Acquiſitiuum.

Acquiſitiuum autem cum infinitiuo, & datiuo. uti par eſt, licet, contingit, decet, uidetur ſenatui, & populo mittendos eſſe legatos. *Demoſthenicum.*

Ἐπιβατικόν.

Τὸ δ' ἐπιβατικὸν εἰς ἀπαρέμφατον μοναχῶς, δεῖ φάναι, χρὴ λαβεῖν, ἐνδέχεται εἶναι, φιλεῖ γίνεσθαι, δεῖ εἰπεῖν. Κοινὸν δὴ οὖν κἀνταῦθα τὸ ἀπαρέμφατον, ἀλλ' ἢ παρῳχημένου, ἢ ἐνεστῶτος, μέλλοντος δὲ οὐδέποτε.

Acceſſiuum.

Acceſſiuum cum ſolo infinitiuo oportet dicere, oportet capere, licet eſſe, ſolet fieri, oportet dicere. Commune eſt igitur & hic uerbum infinitiuum, ſed uel præteriti, uel præſentis, futuri uero nunquàm.

Ἀνάλυσις ῥήματος.

Ἀνάλυσις δ' ἁπλῶς τῶν ῥημάτων εἴς τε τὸ σύστοιχον ὄνομα, ἢ τὴν μετοχήν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν, καὶ ἢ κατ' εὐθεῖαν, ἢ κατὰ γενικήν. οἷον Λύκιοι συνεμάχουν τοῖς Τρωσίν, σύμμαχοι τοῖς Τρωσὶν ἦσαν, τῶν συμμάχων ἦσαν, συμμαχοῦντες ἦσαν, τῶν συμμαχούντων ἦσαν. πληροῦμαι, πλήρης γίγνομαι, τῶν πληρουμένων εἰμί, καὶ δὴ οὕτω ταῦτα.

Reſolutio uerbi.

Porrò fit ſimpliciter reſolutio uerborum in cognatum nomen, uel participiũ, & in eiuſdẽ formæ ſubſtantiuum, idq; uel per nominatiuum, uel per genitiuum. ut Lycij ſimul pugnabant cum Troianis, auxiliares Troianis erant, ex auxiliaribus erant, auxiliares erãt, ex auxiliãtibus erant. impleo, plenus fio, ex his quæ replentur, ſum, & quidem ita hæc.

ΕΓΚΛΙΣΙΣ.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων λόγος μέν, βούλημα, εἴτ' οὖν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.

MODVS.

Definitio modi. Cæterũ accidentium uerbo modorũ definitio hęc quidem eſt, uolũtas, ſiue affectus animi per uocẽ ſignificatus.

Ὁριστική.

Καλεῖται δὲ ἡ ὁριστική, καὶ ἀποφαντική, ἰδίως μὲν τοι ὁριστική, ὅτι διὰ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ προσέτι οἱ αἰτιολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα λέγω, ὅτι γέγραφα. καὶ ὅτι περιπατῶ, κινοῦμαι. ἔχει δὲ τὰ ὁριστικὰ σφισὶ τὴν κατάφασιν ἐγκειμένην, διὸ καὶ τὸ ἀποφατικὸν ἐπίρρημα καταλλήλως τοῖς τοιούτοις, ἵνα τὴν οὖσαν κατάφασιν ἀποστήσῃ, οὐ γράφω. οὐ μὴν δὲ καὶ τοῖς προστακτικοῖς, ἢ εὐκτικοῖς, ἢ

ὑποτακτι-

ὑποτακτικοῖς, τὸ μέντοι ἀπαγορευτικὸν μὴ τοῖς τοιούτοις οἰκεῖον. καὶ οὖν λέγομεν, μὴ γίνωσκε, μὴ γνοίης, μὴ γνῷς. οὐ μὴν ἀλλ' οὐδὲ τοῖς ἀπαρεμφάτοις τὸ οὐ συντάσσεται, οὐθὲν γὰρ ὑπὸ αὐτὰ καταφάσεως. ἀποβάλλουσα γε μὴν ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκέτι ἂν καλοῖτο ὁριστική. εἰς γὰρ ἐπερώτησιν μετέστη, ἆρα γράφεις;

Indicatiuus.

Vocatur autem definitiuus, ſiue indicatiuus, proprie tamen definitiuus, quoniam per hunc indicantes definimus. atq; hinc ſanè fit, ut quæ uocantur affirmatiuæ coniunctiones, quæ inſuper cauſales, coaptentur huic modo. ſcripſi dico, quòd ſcripſi. & quòd ambulo, moueor. Habent enim uerba indicatiua ſibi affirmationem innatam, quamobrem & negandi aduerbium eſt conueniens talibus, ut ſubſiſtentem affirmationem remoueat, non ſcribo. minime autem imperatiuis, uel optatiuis, uel ſubiunctiuis, quanquam prohibitiuum ne ſit illis peculiare. & igitur dicimus, ne cognoſce, ne noſcas, ne noueris. ſed neq; infinitiuis non coniungitur, nihil enim hæc affirmant. cum uero abijcit indicatiuus inexiſtentē affirmationem, non uocetur indicatiuus. nempe in interrogationem tranſit, num ſcribis? *Indicatiui conſtructio.*

Προστακτική.

Εἰ δὲ προστακτική, εὔδηλον ἂν ἔχοι τὴν σύνταξιν τῶν δευτέρων προσώπων, κἂν ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς. ἥτε γὰρ σύνταξις κλητική, τό, τε συνταστάμενον πρόσρημα τό γε ἀφίστησι τὴν ἀμφιλογίαν. τὰ δὲ τριτοπροσωποῦντα οὐ προστακτικά, ἀλλ' αὐθυπότακτα οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι, καὶ δύο ἐγκλίσεις εἰς μίαν συμπίπτειν. ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτούς, οὔτε μὴν προστάσσομεν ἑαυτοῖς, ὑποτιθέμεθα δέ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα, συλληπτικὰ δή. ἵνα γὰρ ἐκκλίνῃ τὴν τοῦ δευτέρου πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρῶτον ὑποθετικὸν ὄν. Τὸ μὲν οὖν ἐλλεῖπον τῶν προστακτικῶν πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα, καὶ τρίτα, εἰς ἕνωσιν ἄγει

τὰς δύο ἐγκλίσεις, ἵνα ἑκατέρα ἀναπληρῶται. τὸ δὲ τρίτον τῶν προστακτικῶν πρόσταξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου δὲ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως, ἀσύστατος γάρ τοι ἡ πρόσταξις ἄνευ δευτέρου.

Imperatiuus.

Imperatiui conſtructio. Imperatiuum autem liquet poſſe conſtrui cum ſecundis perſonis, etiã ſi uoce conueniat cum indicatiuis. nam & adiecti uocatiui, atq; annexum illi aduerbium age remouent ambiguitatem. *Prima imperatiui perſona.* Cæterum primas perſonas non imperatiuas, ſed ſibijpſis ſuggeſtiuas plurimi uocant. uidetur enim modus confundi, & duo modi in unum incidere. Nam quoniam neq; alloquimur nos ipſos, neque mandamus nobis ipſis, ſuggerimus inductiua quędam huiuſmodi, & ſanè comprehenſiua, quæ ut declinẽt in ſecunda perſona mandatum, comprehenſionem recipiũt in primam eam, quæ eſt ſuggeſtiua. Itaq; quæ deeſt imperatiuis prima perſona, & quæ item deſinũt ſuggeſtiuis ſecunda, & tertia, in unum contrahunt duos modos ita, ut uterq; complecatur. Nam tertia perſona imperatiui mandatum ad abſentem perſonam manifeſtat, ſecunda neceſſario aſſumpta ad traditionem mandati, non enim conſtat mandatum huiuſmodi ſine ſecunda.

Εὐκτική.

Ἡ δὲ εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὠνόμασται, καὶ ὑπὲρ ῥήματα ἔχει. εἴθε, αἴθε, ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται. τοῖς δὲ ὁριστικοῖς δεόντως, εἴθε ἔγραψεν, ἵνα ἡ ὁριστικὴ εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ περὶ τὰ ῥήματα εὐκτικὸν τοῦ περὶ τὰ ὑπὲρ ῥήματα, ἢ τὰ μὲν ῥήματα μετὰ τοῦ ὄντος πράγματος τὴν εὐκτικὴν σημαίνει διάθεσιν. τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοίμι, τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε χεδόντι ὄνομά ἐστιν εὐχῆς, οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐφ' ᾧ τὰ τῆς εὐχῆς. ὥσπερ ἄρα καὶ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος, ἢ τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ, τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς.

ὁμοίως

ὡσαύτως δὲ καὶ ἐγὼ πρὸς τὸ γράφω ἔχει, καὶ τὸ ἄλλοθεν πρὸς τὸ ἰλιόθεν. καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν, ὡς ἐν ὑποκειμένῳ σημαίνει. οὐκέτι δὲ καὶ τὸ ἄγαν, αὐτὸ γὰρ μοναχῶς ἐπιτάσεώς ἐστιν ὄνομα. Ὁμοίως δὲ καὶ τὸ γράψον, πρὸς τὸ ἄγε. τὸ δὲ Αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ παραλλήλου. διάκρισιν γὰρ παρυφίστησι προσώπου τὸ ὄφελες, ἅτις οὐκ ἔνεστι τῷ εἴθε.

Optatiuus.

Porrò optatiuus ab ea quæ fit optione nomen ſortitus eſt,& aduerbia habet.utinam,utinam,quę optatiuis ad maiorem intenſionem apponuntur.at indicatiuis neceſſario,utinam ſcripſiſſem, nempe ut indicatiuus optatiuam recipiat cōſtructionem.Hoc enim intereſt inter uerba optatiua,& optandi aduerbia, quod uerba quidē cum ſubſiſtente re optandi ſignificent affectum. ſiquidē ſcriberem, optationē explicat actus, qui eſt ſcribere. & orarem illius, qui orare. Cæterum εἴθε quaſi denominatio eſt optandi, non enim illud cōplectitur, ad quod tendit optio. quemadmodum ſcilicet unus differt ab homo, quatenus hæc dictio unus denominatio eſt ſolius numeri. homo uero cum hoc,quod communem ſubſtantiam ſignificet, ſubſiſtens illi complectitur unus. Similiter uero & ego ad ſcribo ſe habet,& aliunde ad ab Ilio. & celerrimus quidē tanquam intenſionē in ſubiecto ſignificat,non itidem tamen hæc dictio nimis, quippe quod ſolum intenſionis eſt denominatio, pari modo & ſcribito ad age. Cæterum hoc, Vtinā in nauibus ſine lachrymis,& offenſione ſederes,nō ex dependentia eſt. diſcretionem enim addit perſonæ ὄφελες,quæ non eſt in εἴθε.

Optatiui conſtructio.

Optandi aduerbia.

εἴθε.

Iliad.α.

Ὑποτακτική.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστατικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστατικοῦ τοῦ ἐάν, οὐ καθόλου δὲ τοῦτο, καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι, τὴν αὐτὴν σύνταξιν φέρονται. Σωκράτης περιπατεῖ, ἵνα ὑγιαίνῃ. ὅτι μὲν οὖν οὐ συνίσταται, εἰ μὴ ὑποταγῇ τοῖς προκει-

μένοις συνδέσμοις, προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐάν, καὶ τῶν ἴσων ἐπὶ μέλλοντα, ἢ ἐνεστῶτα. οἷον ἐὰν φιλολογῶ, παρέσται Δίων. ἐὰν ἀναγινώσκω, παραγίνεται Θέων. ὡσαύτως δὲ καὶ μετὰ τοῦ ἵνα, ἵνα φιλολογήσω, πάρεσται, ἢ πάρεστι Δίων. ἐάν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλεῖται αἰτιολογικός. ἵνα φιλολογήσω, παρεγένετο Δίων. ὅπερ δὲ ἀποτελεστικῶς ἔχει ἀκοῦσαι, ἐπεὶ μὲν τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη, ἐπεὶ γὰρ γεγόνασι τὰ αἴτια ἐπιλέγεται. διὸ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων, ἵνα διδάξῃ, παρεγένετο Δίων, ὃ παραγένηται. * ὡς δὲ πρὸς τὸ μέλλον, ἢ ἐνεστὸς τὸ ὑποτακτικόν, οὕτω καὶ τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος. οἷον παρεγένετο Δίων, ἵνα διδάσκοιμι, ἢ διδάξαιμι. βούλεται γὰρ καθόλου τι τοιοῦτο εἶναι, κἂν μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας.

ἐπὶ μὲν τοῦ ἀποτελεστικοῦ παραγένηται.

Subiunctiuus.

Subiunctiuum aũt pleriq; dubitatiuum appellant, quod non ſit ſine coniunctione dubitatiua ſi. non uniuerſaliter tamen huiuſmodi. quandoquidem & quæ uocantur finales coniunctiones, in eandem conſtructionẽ feruntur. Socrates deambulat, ut ſanus ſit. Quoniam igitur non conſtat, niſi ſubiungatur præpoſitis coniunctionibus, nuncupatur ſubiunctiuus. Fertur autem huiuſmodi cum ſi, & ſimilibus in futurũ, uel præſens. ut ſi dicendi ſtudioſus ſim, aderit Dion. ſi legam, adeſt Theon. Similiter uero & cum ut, ut dicendi ſtudioſus ſim, aderit, uel adeſt Dion. Quod ſi conſtructio præteriti acceſſerit, coniunctio uocetur cauſalis, ut dicendi ſtudioſus ſim, affuit Dion, quod idem finaliter poteſt intelligi. Sed in his quæ nondum tranſierunt, cauſalis conſtructio eſſe non poteſt. ſiquidẽ de factis cauſa redditur, eoq; magis congruit cõiunctio cauſalis ſequentibus præteritis. ut doceret, aderat Dion, nõ aderit, quanquam in finali locum habeat. Porrò ut ad futurũ, uel præſens ſubiunctiuũ redditur, ita & optatiuũ ad præteritum. ut affuit

ut affuit Dion, ut docerem, uel docuiſſem. uult enim natura in omnibus aliquid huiuſmodi eſſe, & ſi non ſemper ita uſos uideamus Oratores.

Ἀπαρέμφατος.

Τὸ δὲ ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος, καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι, τὰ δ' ἄλλα πάντα κατηγορήματα, ἢ συμβάματα. διὸ καὶ ὥσπερ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις, οἷον περιπατεῖ Θέων, ὁρίζομαι περιπατεῖν Θέωνα. ἐξ ἀποφάνσεως δὲ εἰς ἀφήγησιν μεταβάλλεται ὁ λόγος, ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων ἐγκλίσεων προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως ἰδιώματος, οἷον εὔχομαι, ἢ προστάττω. αὐτοῦ δὲ τοῦ ἀπαρεμφάτου κυρίως οὐκ ἔσται ἔγκλισις, βουλήματος γὰρ οὐδενός ἐστι σημαντικόν, διαλύοιτο δ' ἂν καὶ ὧδε. ὑγιαίνει Δίων, φασὶ Δίωνα ὑγιαίνειν, λέγουσι Δίωνα ὑβρίσαι Θέωνα. Ταῦτ' ἄρα ἐστὶν ἡ τοῦ ἄρθρου προσθήκη κατάλληλος τοῖς ἀπαρεμφάτοις, καλὸν γὰρ φαμὲν τὸ ἀρετῆς ἀντιποιεῖσθαι, καὶ τοῦ φιλοσοφεῖν οὐδὲν ἥδιον, καὶ τῶν αὐθέων τὸ ὀδωλγίαι, ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις. Ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις καὶ τό, τε αἰτιατικὴν περιέχειν, ἐπεὶ ὥστε ῥήματι τὴν τοῦ ῥήματος διάφορον ἔχει μετάβασιν. οἷον συγγινώσκειν σε τῷ ἡμαρτηκότι. Καὶ τὸ παντὶ προσώπῳ, καὶ παντὶ ἀριθμῷ συντάττεσθαι διὰ τὸ ἀμοιρεῖν τούτων. καὶ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις, καὶ ἑαυτῷ δὴ συντάττεσθαι, ὁρῶ σε μελετᾶν ἀναγινώσκειν καὶ μετέχειν, μελετῶντα ἀναγινώσκειν, καὶ ὀνόματι, καλὸς ἰδεῖν, ἀνδρεῖος μάχεσθαι. Καὶ τὸ τοῖς διωρισμένοις τρόποις περὶ συντάξεως ἅπασιν οἷόν τε εἶναι προσκεῖσθαι, διδάσκω σε διαλέγεσθαι, ἀπαιτῶ σε χρήματα δουλοῦσθαι τοὺς ἐχθρούς, ἀκούω σου μαθεῖν τὰ περὶ τὴν πόλιν, ἀπολύω σε τῶν δεσμῶν πορεύεσθαι, ὅποι δοκεῖ. δίδωμί σοι ἀργύριον πρίασθαι, ὧν ἂν δέῃ. κοινωνῶ σοι τῶν ἀγαθῶν μὴ φθονερὸς εἶναι δοκεῖν. Πολλαχῇ μέντοι τοῦ σαφεστέρου χάριν ὡς εἴρηται, προσθετέον ἢ ἀποστατικὸν τὸ ὥστε, ἢ ἐλλειπτικὸν τὸ τοῦ, ἢ προσθετικὸν ὁμοῦ ἄρθρῳ, ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. παρακαλῶ σε ταῦτα ὥστε τυχεῖν, τοῦ τυχεῖν, ἐφ' ᾧ τυχεῖν τιμῆς τε, καὶ δόξης.

Infinitiuus.

Infinitiui conſtructio. Cæterũ infinitiuus nomen eſt uerbi, & Stoici quidem hunc modum uerbum uocant, reliqua autem omnia prædicamenta, ſeu accidentiã, atq; cõgruitates. Quamobrem tanquam in commune nomen, in infinitiuũ omnis reſoluitur modus. ut deambulat Theon, definio deambulare, Theonem, ſed ex definito in narrationem transfertur oratio. Eodem autẽ modo & in cæteris modis, appoſita ſemper modi proprietate. ut opto, uel impero. nam ipſius in-*Infinitiui reſolutio.* finitiui proprie nullus erit modus, nullius namq; affectionis eſt ſignificatiuus. reſolui tamẽ poteſt ſic, ſanus eſt Diõ, dicunt Dionem ſanum eſſe, dicunt Dionem offendiſſe Theonem. Ad hæc & articuli appoſitio conueniens eſt, & accommoda infinitiuis. pulchrum enim dicimus, uirtutem ſectari; & philoſophari nihil iucundius, item florum eſt fragrare, loco igitur nominis uſus huiuſmodi. Proprium autem infinitiui, ut cum alijs modis conſtructus accuſatiuum complectatur, quoniam tanquam uerbi diuerſam habebit tranſitionem, ut ignoſcere te ei qui deliquit. Præterea ut omni perſonæ, & omni numero applicetur, propterea quod expers ſit talium. Etiã cum alijs modis omnibus, & cum ſeipſo conſtruatur. uideo te meditari, ut legas. Et cum participio, meditantem ut legas. Rurſum cum nomine, pulcher uiſu, fortis ad pugnam. Itaque præſcriptis formis de conſtructione omnibus poterit adiungi. doceo te differere, poſco te pecunias ad ſubiugãdos hoſteis. audio te diſcere, quę ad ſtatũ Vrbis. abſoluo te uinculis, ut eas quò uiſum fuerit. do tibi pecuniam, ut emas ea, quorum eges. communico tibi bona, ne inuidus eſſe uidear. Sæpenumero tamen maioris declarationis cauſa, ut dictum eſt, addendum uel digreſſiuum ut, uel defectiuum τȣ̃, uel præpoſitio cum articulo prout uſus exegerit. ut adhortor te hæc, ut aſſequaris, ut aſſequaris, ut aſſequaris honoremq; & gloriam.

Προαιρετικὰ, καὶ ὑπηρετικά.

Μάλιστα δὲ ἐπὶ τοῖς προαιρετικοῖς, καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. Βούλομαι, ἢ θέλω γράψαι. προαιροῦμαι, ἢ ἐφίεμαι φιλοσοφεῖν. ἐπιθυμῶ ἰατρεύειν, ποθῶ ἰδεῖν, προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι, ἢ δύναμαι γράφειν. καὶ ἔτι γε τοῖς ἀπροσώποις, δεῖ γενέσθαι, λέγεται ἀφικέσθαι πολλούς.

Electiua, & ſubminiſtratiua.

Maxime uero in his quæ electiua, & ſubminiſtratiua uocantur, infinitiuus ſubinfertur. uolo, uel uolo ſcribere. conſtituo, uel cupio philoſophari. deſydero medicinam exercere, cupio uidere, concupiſco auxiliari. ſcio, uel poſſum ſcribere. Identidem & cum imperſonalibus, oportet fieri, dicitur aduentaſſe multos.

Ἐνεστὼς, ἀόριστος.

Ἀποδώσομεν δὲ, ὡς ἁπλῶς εἰπεῖν, τὸ μὲν τελικῷ κατά τε ἀόριστον, καὶ ἐνεστῶτα. πορεύομαι ἐντυχεῖν τἀνδρί. ἀντιβολῶ σε παραγενέσθαι, ἢ παραγίνεσθαι, εἰ τὸ ἅπαξ, ἢ τὸ πολλάκις ἐν χρείᾳ.

Præſens, indefinitum.

Reddemus autem, ut dicam paucis modo quidem finali indefinitum, & præſens. uado, ut occurram uiro. obſecro te adeſſe, uel occurrere, ſi ſemel, aut ſæpius ſit in uſu. *Temporum conſtructio.*

Ἐνεστὼς, ἀόριστος, μέλλων.

Τῷ δὲ εἰδικῷ κατά τε τὸ παρῳχημένον, καὶ τὸ ἐνεστὸς καὶ τὸ μέλλον, ἀλλ' οὐ παντός. ἀλλ' ἀφηγηματικῶς μὲν, καὶ δοξαστικῶς, καὶ γνωστικῶς ὅτι τὴν φασίν, ἢ δοκῶ, ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι λέγειν, ἐρεῖν. ἐπαγγελτικῶς δὲ, καὶ παρωνύμως πρὸς τὸ μέλλον. ὑπισχνοῦμαι ἐρεῖν, ἐλπίζω ὄψεσθαι, μέλλω δράσειν. Κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι, μέλλω δρᾷν. ἀποδοθήσεται δὲ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς, ὡς εἴρηται.

Præſens, indefinitum, futurum.

Formæ uero ſpecificæ per præteritum, præſens, & futurum. ſed non omnino, uerum narratiue quidem, & opina-

tiue, & cognitiue utcunque. dicunt uel puto, uel ſcio uirum dixiſſe, dicere, dictur͂u eſſe. Promiſſiue autem, & de- *μέλλον.* nominatiue ad iſtam dictionem *μέλλον*. promitto dicturum eſſe, ſpero uiſurum eſſe, ſum facturus. congruit tamen & præſens quidem cum futuro, ſum facturus. Redduntur autem imperſonalibus ea circa tempus ſimiliter quæ & finalibus, ut dictum eſt.

Πρόσωπα.

Τῶν δὲ παρεπομένων τοῖς ῥήμασι τὰ πρόσωπα τρία ὄντα, πρῶτον, ὧ περὶ ἑαυτοῦ φράζει ὁ λέγων. δεύτερον, ὧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. τρίτον, ὧ περὶ ἑτέρου. οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστὶν, ἀλλὰ πολὺ τὸ τρίτον λέπεται τοῦ πρώτου τε, καὶ δευτέρου, καὶ τὸ δεύτερον ἔτι τοῦ πρώτου. καὶ οὖν πρώτου, καὶ δευτέρου λαμβανομένου δίχα τοῦ τρίτου, λόγος ἂν γίνοιτο. οἷον τὸ Τοὶ γὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον. Τρίτον δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου, ἢ δευτέρου λεγομένου, ἢ συνυπακουομένου.

Perſonæ.

Perſonæ uerbi tres. Cæterũ ex his quæ accidunt uerbo, perſonæ tres ſunt. prima, per quã de ſe loquitur loquens. ſecunda, per quam de eo ad quẽ ſermo eſt. tertia, per quã de alio. neq; eiuſdẽ potentiæ ſunt, ſed multo tertia inferior eſt & prima, & ſecunda, & ſecũda identidem & prima. proinde ſecunda aſ- *Exemplum ex Iliad. li. α.* ſumpta, ſine tertia oratio fieri poteſt, ut Tibi enim ego dico, tu uero ſponde, & mihi iura. Tertia non poteſt dici, niſi etiam prima, uel ſecunda expreſſa, aut ſubaudita.

Σύλληψις.

Ἔτι τὸ μὲν πρῶτον, καὶ δεύτερον δυνατὸν συλλαμβάνειν τὸ τρίτον εἰς πληθυντικὸν ἴδιον, τὸ δὲ τρίτον οὐδέτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν, κἀκεῖνος περιπατοῦμεν, φαμέν. καὶ σὺ, κἀκεῖνος περιπατεῖτε. οὐκέτι δὲ καὶ ἐκεῖνος, κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος, καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς πρῶτον, καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον. τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον, ἀνάπαλιν δ' οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν, φαμέν, περιπατεῖτε δ' οὔ.

Conce-

Conceptio.

Itaque prima quidem, & ſecunda poſſunt concipere tertiam ad pluralē ſuum uerbum, ſed tertia naturam harum. etenim ego quidem, & ille deambulamus, dicimus. & tu, & ille deambulatis. non autem ille, & ego deambulant, uel ille, & tu deambulant. Quemadmodum autem tertia ad primam, & ſecundam ſe habet, ſic & ſecūda ad primam. ſiquidem prima concipit ſecundam, contra uero non. ego igitur, & tu deambulamus, dicimus, non autem deambulatis. *Perſonarũ cõceptio mutua.*

ΠΕΡΙ ΜΕΤΟΧΗΣ.

Μετοχὴ δὲ ὡς καὶ τοὔνομα δηλοῖ, μέρος ἐστὶ λόγου μετέχον τοῦ ὀνόματος, καὶ τοῦ ῥήματος. μετέχει γὰρ τοῦ μὲν γένους, καὶ πτώσεως, τοῦ δὲ διαθέσεως, καὶ χρόνου, καὶ συζυγίας. δι᾽ ὃ τῇ μὲν τῆς ἀμφὶ τοὔνομα συντάξεως ἔχεται, τῇ δὲ τῆς ἀμφὶ τὸ ῥῆμα. ὥστε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα πρὸς ἄλληλά τε, καὶ πρὸς τὰ ὀνόματα, οὕτω καὶ αἱ μετοχαὶ πρός ἀλλήλας τε, καὶ πρὸς τὰ ῥήματα, καὶ ὀνόματα. ὡς γὰρ φαμὲν γράφειν ἐθέλω, καὶ τοῦ λέγειν ἐφίεμαι. οὕτω καὶ γράφειν ἐθέλων, καὶ τοῦ λέγειν ἐφιέμενος. καὶ βέλτιόν γε ἀντὶ μέλλοντος τὸ μετοχικόν, ἥκω ἐρῶν, πέμπω σε ἀγγελοῦντα. Ἔτι ὡς δίδωμι Σωκράτει, οὕτω καὶ ὁ φιλῶν τὸν σώζοντα. καὶ ὡς θεῶμαι τοὺς γυμναστὰς, οὕτω καὶ θεώμενος τοὺς γυμναζομένους. Τὸ δὲ τόξων εὖ εἰδὼς, ποικίλον κατὰ ἀντιμέρειαν, ὡσὰν εἰ ἔλεγε, τόξων εἰδήμων. Φέρονται δὲ αἱ μετοχαὶ ἐπὶ τὰς αὐτὰς πτώσεις τῷ ῥήματι, καθότι τῶν ἄλλων πτωτικῶν, λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. κόπτω τοῦτον, κοπεὺς τούτου. ὅθεν καὶ δηλονότι πάντα τὰ πτωτικὰ ὑπὸ γενικὴν, πλὴν τῶν μετοχῶν. Ἔτι ὡς ἀπολελυμένως φαμὲν, ἀναπνέω, καὶ ζῶ, καὶ γράφω, καὶ χαίρω. οὕτω καὶ ἀναπνέων ζῶ, καὶ γράφων χαίρω.

DE PARTICIPIO.

Participiorũ conſtructio.

PArticipium uero ut & uox indicat, pars eſt orationis particeps nominis, & uerbi. accipit aũt à nomine genus quidem, & caſum. à uerbo affectum, & tempus, & coniugationẽ. unde partim ut nomen conſtructionem habet, partim ut uerbum. Porrò quemadmodum conueniunt in conſtructione uerba inter ſe, & cum nominibus. ita & participia inter ſe, & cum uerbis, & nominibus. nam ſicut dicimus ſcribere uolo, & dicere cupio. ſic & ſcribere uolẽs, & dicere cupiens. Venuſtius tamen per futurum participij, uenio dicturus, mitto te nunciaturum. Item ut do Socrati, ſic & dans Socrati. præterea ut amo ſeruatorem, amans ſeruantem. & ut ſpecto luctatores, ſic ſpectans luctanteis. Cæterum illud, arcu bene ſciens, Poëticum eſt per antimeriam, ac ſi diceret arcu peritus. Poſtulant itaq; participia eoſdem caſus, quos uerbum, tametſi reliqua caſualia, loquor de his, quæ à uerbo deſcendunt, nõ eandem conſtructionem ſeruent. ſeco hunc, ſector huius. Quamobrem ſcilicet caſualia omnia genitiuum exigunt, præter participium. nempe quemadmodũ abſolute dicimus reſpicio, & uiuo, & ſcribo, & gaudeo. ſic & reſpiciens uiuo, & ſcribens gaudeo.

Homericum hemiſtichiũ.
Antimeria.

Διὰ τί εὕρηται ἡ μετοχή.

Ὅθεν καὶ δῆλον, ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν λόγου συμβάλλονται αἱ μετοχαί. πολὺ γὰρ διαφέρει εἰς εὐφρασίαν τὸ γράφων ἔλεγον, τοῦ ἔγραφον, καὶ ἔλεγον. καὶ τὸ γράψας ὠφέλησα, τοῦ ἔγραψα καὶ ὠφέλησα. καίτοι σημασίας ὂν τῆς αὐτῆς. εἰ δὲ τῆς ἑτέρας, δηλόντως. τὸ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετηνέχθη σχῆμα, ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις δήλωμα ἂν εἴη αἰτίας. ὥστ' ἴσον γίνεσθαι, τὸ γράψας ὠφέλησα, τῷ δ' ἐκ τοῦ γράψαι ὠφέλησα.

Quare inuentum participium.

Manifeſtum ergo, quod plurimum ad loquendi compendium, & figuram Græcæ orationis cõferunt participia. multum enim differt quantum ad ornatum, ſcribens dicebam,

dicebam, à ſcribebã, & dicebam. & qui ſcripſi, profui, à ſcripſi, & profui, quanquã ſignificationis ſint eiuſdem. quod ſi alterius, id neceſſario, etenim uerbũ in cauſalem transfiguratur ſpeciem. nam participij ad uerbum conſtructio declaratio fuerit cauſæ, ut idẽ ſit, ſcribẽs profui cum hoc, ex ſcribendo profui.

Πλαγίως.

Πολλὴ δὲ χρῆσις καὶ τῆς πλαγίου τῶν μετοχῶν, οἷον ἐμοῦ διδάσκοντος ἧκε Σωκράτης, καὶ ἐμοῦ διδάσκοντος σὺ μανθάνεις. τότε πλάγιον τῆς συντάξεως τοῦτο, ὡς ἐκεῖνο τὸ ὀρθόν, ἤτοι αἰτιωδῶς, ἢ κατὰ συμβεβηκός. Δύο μὲν τοίνυν τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως οἱ εἰρημένοι, ὁ μὲν κατ' ἀκολούθησιν ἀπ' εὐθείας εἰς ῥῆμα ὁμοιοπροσωποῦν τῇ εὐθείᾳ, ἡ γάρ τοι παραλλαγὴ τοῦ προσώπου ἐν ταῦθα Σολοικισμός, ὡς εἴρηται πρότερον, Σωκράτης περιπατῶν διαλέγεται, καλείσθω δὲ ὁ τοιοῦτος ταυτοπροσωπικός. ὁ δὲ ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος, Σωκράτους διαλεγομένου, Δίων, ἢ σὺ γράφεις, προσαγορευέσθω δὲ ἑτεροπροσωπικὸς ἀμετάβατος. Τρίτος ὁ ἀπὸ δοτικῆς κατ' ἀδιάφορον καὶ οὗτος ἐπαγωγὴν τοῦ ῥήματος, διαλεγομένῳ Σωκράτης παρῆν. Τέταρτος δ' ὁ ἀπὸ αἰτιατικῆς ἀδιαφόρως καὶ οὗτος, διαλεγόμενον ὁρᾷς, καὶ ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως τοῖς ἐκ πρώτου πτωτικοῖς συνταξομένη ἡ μετοχὴ τὴν τοῦ ῥήματος ποιήσεται ἀκολούθησιν. ὁρῶ σε κρύπτοντα, ἐμοὶ βουλομένῳ ἦν, τοῦ μὲν ἀπέχοντος ὡς προσδοῦντος.

Oblique.

Frequens autem eſt uſus obliqui participialis, ut me docente uenit Socrates, & me docente tu diſcis. Et obliqua conſtructio hæc, ſicut illa recta ſumitur uel cauſaliter, uel per accidens. Duo igitur modi quibus participium cum uerbo conſtruitur iam dicti, alter quidem ſecundum congruentiam recti ad uerbum eiuſdem perſonæ cum recto, quandoquidem mutatio perſonæ in hoc loco eſt Solœciſmus, ut dictũ eſt prius, Socrates deambulans diſſerit, uocetur autem talis modus eiuſdem perſonæ. alter uerò ge-

Vſus obliquorũ participij.

Participiũ cũ uerbis quot modis cõſtruatur

nitiui indifferẽter alterius perſonæ cum uerbo. ut Socratẽ differente Dion, uel tu ſcribis, appelletur autem hic alterius perſonæ in tranſitiuus. Rurſum tertius à datiuo ſecundum minime differentem & hic inductionẽ uerbi, ut differenti Socrates aderat. Quartus item ab accuſatiuo indifferenter & is quoq;, differentem uides, & uidit. Generaliter uerò in eodem genere, & eodem caſu cum præcedẽtibus caſualibus conſtructum participium uerbi congruentiam ſequetur. uideo te latitantẽ, mihi uolenti erat, ab hoc quidem abſtinuerunt tanquam præſciente.

Ἀπροσώπως.

Ταῖς δὲ τῶν ἀπροσώπων μετοχαῖς ἴδιον μάλιστα τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων πρὸς ἀναπλήρωσιν γίνεσθαι τοῦ δευτέρου τρόπου, οἷον ἄδηλον ὄν, ὁπότε τις ἐπελθὼν ἄλλος ἀφαιρήσεται. καὶ ἰδιώτης ἦν, ὡς οὐ μετὸν, ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς. καὶ ἔπραξα ταῦτα, δέον ἕτερα. καὶ ἀγγελθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, ἀντεπεξῆλθεν εἰς μάχην, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Imperſonaliter.

De participijs impſonalibus.

Imperſonalibus autem participijs peculiare maxime eſt, ut rectus neutri generis ad complementum accipiatur ſecundi modi, ut incertum quando quis alius ſuperueniens auferet. & priuatus erat, tanquam non decens, aut conueniens illi imperio. & feci hæc, cum oporteret alia. & cum nunciatum eſſet illi hoſteis adeſſe, obuiam proceſſit in pugnam, ſimili modo & in alijs.

Exemplũ mutuatum è Thucyd. proœmio.

Προσωπικῶς.

Αἱ δὲ τῶν προσωπικῶν εὐθυλογούμεναι ἀδιαφόρως τοῖς τῶν ῥημάτων προσώποις συντάσσονται, γράφων ὠφελῶ, ὠφελεῖς, ὠφελεῖ, διὰ τὸ μὴ διακεκριμένας εἶναι προσώπων. Καὶ ὀνόμασι μὲν συντασσόμεναι ἐν ῥήματος μοίρᾳ λαμβάνονται, τοὺς λόγους ἐπαινῶν. ῥήμασι δὲ ἐν μοίρᾳ ὀνόματος, τοὺς λέγοντας ἐπαινῶ. κἂν ὁμοῦ ἀρσενικὰ ἄττα, καὶ θηλυκὰ προστάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους, τουτέστι τοῦ ἀρσενικοῦ μετοχὴν ἐπάγειν. οἷον ἀνδρῶν, καὶ γυναικῶν

καθή.

καθήμενοι διαλέγονται. Δῆλον οὖν ὅτι καὶ θηλυκῶν προτασσομένων σὺν οὐδετέροις, τὴν τοῦ θηλυκοῦ ἐποιήσαμεν ἀπὸ προτέρου. οἷον τὸ Ὁμήρου Αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι, καὶ νήπια τέκνα Εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι. ἢν δ' ἀρσενικὰ ὁμοῦ προταχθῇ κατὰ μετασχηματισμὸν φωνῆς, ἀλλὰ μὴ κατὰ σημασίαν τὴν οὐδετέραν ἀποδώσομεν μετοχήν. οἷον δὴ καὶ τὸ Νοῦς μὲν ἤδη, καὶ αἴσθησις ἀπ' ἀλλήλων διακριθέντα. Ἔτι ἐὰν διάφορα προτάσσηται γένη χωρὶς, ἡ μετοχὴ τοῦ ἐγγυτέρου ἔσται. Οὐδὲ κ' Ἄρης λαοσσόος, οὐδὲ κ' Ἀθήνη Τόν γε ἰδοῦσ' ὀνόσαιτο. Συντάσσονται δὲ καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηδὲν πλέον δηλοῦσαι τῶν συστοίχων ῥημάτων, οἷον γράφων εἰμὶ, καὶ γεγραφώς. ἴσον γὰρ τῷ γράφω, καὶ γέγραφα.

Perſonaliter.

Perſonalia uerò participia in recto etiam prolata indifferenter cum quibuslibet uerborum perſonis cõſtruuntur, ſcribens iuuo, iuuas, iuuat, eo quòd non diſtinguãt perſonas participia. & cum nominibus quidem cõpoſita uerbi loco accipiuntur, ut orationes laudans. cum uerbis uerò loco nominis ſumũtur, orãteis laudo. Item ſi ſimul maſculina quidem, & fœminina præponãtur participio, præſtantius genus, id eſt maſculinũ participiũ ſequetur, ut uiri & fœminæ ſedentes differunt. Manifeſtũ igitur quod fœmininis præpoſitis cum neutris, participium fœminino ſubdemus tanquam potiori. ut hoc Homeri, Veſtræ autem uxores, & infantes liberi ſedent in atrijs auide expectãtes. Sin maſculina & fœminina ſimul præcedant iuxta transfigurationem uocis, non iuxta ſignificationem, neutro reddemus participiũ, cuiuſmodi ſanè & hoc, Mens quidem, & ſenſus inter ſe diſtincta ſunt. Quod ſi diuerſa præponantur genera ſeorſum, participium propinquiori conueniet. Neque Mars ſeruator populi, neque Pallas uidens uituperet. Coaptãtur & ſubſtantiuis uerbis nihilo plus ſignificantia, quàm uerba unde reſoluuntur. ut ſcribens ſum, & ſcribens fui. ſimile enim ſcribo, & ſcripſi.

De perſonalibus.

Iliados 6.

Homericum.

ΠΕΡΙ ΑΡΘΡΟΥ.

Τὸ δὲ ἄρθρον ἐστὶ μὲν λόγου πτωτικὸν μέρος προτασσόμενον τοῖς ὀνόμασι, διαιρεῖται δὲ εἰς προτακτικόν τε, καὶ ὑποτακτικόν, ὡς διώρισται πρότερον. Κυρίως γε μὴν ἄρθρον τὸ προτακτικόν, ποιεῖ δ' ἀναπόλησιν προεγνωσμένου τινὸς ἐν τῇ συντάξει. οἷον εἰ μὲν λέγοι τις, ἄνθρωπος ἥκει, ἄδηλον τίνα ἄνθρωπον λέγει. εἰ δὲ ὁ ἄνθρωπος, δῆλον, προεγνωσμένον γάρ τινα τῶν ἀνθρώπων. τοῦτο δὲ αὐτὸ βούλονται καὶ οἱ φάσκοντες τὸ ἄρθρον σημαντικὸν πρώτης γνώσεως, καὶ δευτέρας. τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται, τὰ δὲ ὑποτακτικὰ ἑνὸς ἀορίστου τοῦ τις ἐγκλινομένου, ὅστις. προτίθεται δὲ ταὐτὸ ὁμοίως καὶ συνδέσμου τοῦ περ, ὥσπερ ἐπὶ τοῦ γε ὅς γε, καὶ τοῦ περ ὅσπερ. Ποιηταὶ δὲ ἐπὶ ὅς ῥα, καὶ ὅς νυ λέγουσιν. ἀλλ' ὅταν ἁπλῶς οὕτω λαμβάνηται, μετὰ τις συντάσσεται μόνον, ἢ τῶν εἰρημένων τῳ. ὅταν δὲ αὐτόν τις ἀγνοοῦντα δηλῶσαι βούληται, καὶ τὸ ποτε ἐπιπλέκει μετὰ τις ἐγκλινόμενον, οἷον ὅς τίς ποτε ἦν ἐκεῖνος. Προσκείσθω δὲ τούτοις καὶ τὸ ἄττα, ὡς μὲν τὸ ἅτινα προτασσόμενον, ἅττ' ἂν εἴπῃς. ὡς δὲ τὸ τινὰ ὑποτασσόμενον, ὁποῖ' ἄττ' ἂν ᾖ. Ἔτι τὰ μὲν προτακτικὰ ὀνομάτων, καὶ μετοχῶν καθόλου προτίθεται, ἀντωνυμιῶν δὲ οὐ πασῶν. Τὰ δὲ ὑποτακτικὰ καθόλου ὀνόμασί τε, καὶ μετοχαῖς, καὶ ἀντωνυμίαις τυγχάνει ἑπόμενα. ἀκολουθητικὸν ἄρα τὸ ὑποτακτικὸν πάντων τῶν πτωτικῶν, προηγητικὸν δὲ τῶν ῥημάτων. οἷον εἰ λέγοι τις, σώφρων ὃς τῶν φαύλων κρατεῖ ἐπιθυμιῶν. ὅθεν δὴ καὶ οὐ κυρίως ἂν εἴη ἄρθρα ταυτί, ῥημάτων γὰρ προηγεῖται τῶν μὴ πεφυκότων ἄρθροις συντάττεσθαι. Χρῆσις δὲ τοῦ προτακτικοῦ κἀπὶ τῶν ἐπιμεριζομένων πτωτικῶν τοῖς μεριστικοῖς καλουμένοις συνδέσμοις μετὰ μὲν, καὶ δέ. τριχῶς δέ, ἢ γὰρ κατ' εὐθεῖαν, οἷον ἄνθρωποι οἱ μὲν ἤδη εἰσέτρεχον, οἱ δὲ ἔτι ἐσκεδάζοντο. ἢ κατὰ γενικήν, τῶν ἀνθρώπων οἱ μὲν Ἕλληνες, οἱ δὲ Βάρβαροι. ἢ κατὰ αἰτιατικήν, τοὺς στρατηγοὺς τοὺς μὲν ἔλαβον, τοὺς δὲ λαβεῖν οὐδαμῶς ἠδυνήθησαν.

DE ARTICVLO.

Rticulus autem eſt orationis quidem caſualis pars præpoſita nominibus, diuiditur autē in præpoſitiuum,& poſtpoſitiuum, ut definitum eſt prius. proprie tamen articulus, qui præpoſiuus,facit enim memoriam præcogniti in cōſtructione. ut ſi dicat quis,homo uenit, incertū de quo homine dicit. ſi uero hic homo,certum,nempe de memorato prius aliquo hominum.Porrò hoc idem uolunt,qui dicunt articulum ſignificatiuum eſſe tum primæ notionis, tum ſecundæ.Itaq; præpoſitiui articuli omnibus nominibus præponuntur,poſtpoſitiui uero ſoli huic indefinito quis inclinatiuo,quicunque. præponuntur ſimiliter & coniunctioni περ, quiquidem.& γε, quiquidem.& πυ, quinam.Poëtæ etiam & qui,& qui dicunt.Sed quando ſimpliciter ſic accipiuntur,articulo huic τις copulantur duntaxat, aut ex dictis alicui.cum uero ſe quis incertum ſignificare uult, etiā ποτε innectit cum quis enclitica,ut quiſnam erat ille.Adijciatur uero his & ἄττα,ut quidem quæcunq; præpoſitum, quæcunque dixeris. cum uero ut quædam, ſubiungitur, qualiacūq; licet ſint.Item præpoſitiui nominibus,& participijs generaliter præponuntur,pronomiuibus uero non omnibus.Rurſum poſtpoſitiui generaliter nominibusq;, & participijs,& item pronominibus ſubnectuntur. Sequitur itaq; poſtpoſitiuus parteis quaſcunq; caſuales, præcedit autem uerba.ut ſi dicat quis, temperans qui prauis imperat cupiditatibus.Vnde ſanè non proprie erit articulus hic,uerba enim præcedūt,quæ naturaliter articulis nō poſſunt coaptari.Vſus item præpoſitiui & in diſtributis caſualibus cum diſcretiuis coniunctionibus,quidem, & uero. idq; tripliciter, aut enim per nominatiuū,ut homines alij quidem incurſabant, alij uero apparabant. aut per genitiuum, hominum alij quidem Græci,alij uero Barbari. aut per accuſatiuum,ut duceis alios quidem ceperūt,alios uero capere haud quaquam potuerunt.

Articuli definitio.

Articuli præpoſitiui cōſtructio.

Articuli quibus iunguntur particulis.

ἄττα.

Vſus articulorum cum μὲν, & δὲ.

Πρόληψις.

Ἔνθα δὴ καὶ εἰ μὲν κατὰ πρόληψιν πληθυντικὸν ῥῆμα προτάσσεται, πρὸς ἑκάτερον τὸ ἑπόμενον εὐθεῖαν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροίσει. οἷον ἀετοὶ διέπτησαν δύο, ὁ μὲν ἀπ' ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν. Εἰ πρὸς τὰ μεριζόμενα ἑνικὸν ἕπεται, γενικὴν δέοι ἂν ἡγεῖσθαι πληθυντικήν. δυοῖν ἀετῶν ὁ μὲν ἀπ' ἀνατολῶν ἔπτη, ὁ δὲ ἀπὸ δυσμῶν. Ἔξεστι γε μὴν καὶ τὸ ἑνικὸν ὁτὲ μὲν εἰς ἑνικὰ διελεῖν, ὁτὲ δὲ εἰς πληθυντικά. τὸ ἀνθρώπειον γένος τὸ μὲν ἀγαθόν, τὸ δὲ φαῦλον. τοῦ ἀνθρωπείου γένους οἱ μὲν ἀγαθοί, οἱ δὲ φαῦλοι. Καὶ αὖ πάλιν τὸ πληθυντικὸν ὁτὲ μὲν εἰς πληθυντικά, ὁτὲ δὲ εἰς ἑνικά. τῶν ἀνθρώπων οἱ μὲν ἀγαθοί, οἱ δὲ φαῦλοι. δυοῖν ὀρνίθων ὁ μὲν πτητικός, ὁ δὲ οὔ. Εἰ μὲν οὖν εὐθεῖα ἡγεῖται, κείσθω ἐν τῇ ἀθροίσει τὸ ῥῆμα. εἰ δὲ γενική, ἐν τοῖς μεριζομένοις ὡς δεδήλωται. Βουλομένοις δὲ καὶ τὴν ἄθροισιν, καὶ τὸν μερισμὸν πλαγίως προσενεγκεῖν, ἀνάγκη δὴ καὶ μετοχῆς χρῆσθαι πλαγίας ἐν μοίρᾳ λαμβανομένης ῥήματος, καὶ μετάβασιν ἑτεροπροσωπικῶς ποιεῖσθαι. ἀετῶν διαπτάντων, τοῦ μὲν ἀπ' ἀνατολῶν, τοῦ δὲ ἀπὸ δυσμῶν ἴσον τὸ τάχος. Καὶ πρὸς δοτικήν, ἀετοῖς διαπτᾶσι, τῷ μέν, τῷ δέ. καὶ πρὸς αἰτιατικήν, ἀετοὺς διαπτάντας, τὸν μέν, τὸν δέ. τὸ δ' Ὁμήρου, Ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς, σολοικοφανές. Ἴδιον δὲ τοῦ προτακτικοῦ οὐδετέρου τὸ πᾶσι τοῖς τοῦ λόγου μέρεσι, καὶ τῷ λόγῳ αὐτῷ συντάττεσθαι ὁρικῶς. οἷον τὸ ἄνθρωπος, τὸ γυνή, τὸ λέγω, τὸ Σωκράτης διαλέγεται. ὥστ' οὕτω καὶ εἴη ἄν, ὡς οὐδέτερα πάντα, καὶ ἄκλιτα. Ἔτι τὸ ὃς ὀνόματος αἰτιατικῇ ἐπιπλεκόμενον ἀνάγκη μὴ πρὸς τὸ ἡγούμενον ὄνομα μόνον, ἀλλὰ καὶ πρὸς τὸ συνημμένον αὐτῷ, ἕτερον ῥῆμα προφέρεσθαι. Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη. μετάβασις δὲ τῶν ἀπὸ προσώπου εἰς πρόσωπον. Εἰ δ' εὐθεῖα συντάττοιτο εὐθείᾳ, πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται. ἧκεν ἀνήρ, ὃς ἐπέστελλεν. εἰ δὲ δύο πλάγιαι εἶεν, ἤτοι πρὸς ἕτερον πρόσωπον μετάβασις γίνοιτ' ἄν. οἷον τὸν ἄνθρωπον ὃν ἐλεῶ, τρέφω. ἢ κατ' ἐπιστροφήν, ἐμαυτὸν ὃν φιλῶ, θεραπεύω. Εἰ δ' ἡ μὲν τῶν πτώσεων εἴη, εὐθεῖα, ἡ δὲ πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος

γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον. ἐπαινεῖ τοὺς Δαναοὺς Ὅμηρος, ὃν τιμῶ. καὶ πάλιν, τέθνηκε Πάτροκλος, ὃν ἐφίλει ὁ Ἀχιλλεύς ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν, τιμῶ Ὅμηρον, ὃς τοὺς Δαναοὺς ἐπαινεῖ. καὶ αἱ πλάγιαι δὲ τοῦ ὃς πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν ἀναφέρονται, Ὅμηρος, οὗ, ᾧ, ὅν. καὶ ἀνάπαλιν τῇ ὃς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις κατ᾽ ἀλλήλως συντάσσονται, Ὅμηρος ὃς τὴν Ἰλιάδα συνέγραψε, Ὁμήρου ὅς, Ὁμήρῳ ὅς, Ὅμηρον ὅς, Ὅμηρε ὅς. Καὶ ἔτι αὐτοῦ ὃς πλάγιαι ταῖς τῶν πτωτικῶν πλαγίαις ἅπασαι ἁπάσαις, Ὁμήρου οὗ, ᾧ, ὅν· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως, καὶ ὁμοῦ ταῖς προθέσεσιν. ἀφ᾽ οὗ, σὺν ᾧ, περὶ ὅν. Ἔστι δ᾽ ὅτε καὶ μετὰ τὸ ὑποτακτικὸν εὐθὺς μετοχὴν ἐπάγομεν ὁμοιογενῆ, καὶ ὁμοιόπτωτον, καὶ ὁμοιάριθμον, ἢ πλαγιοσύντακτον κατὰ γενικὴν ἀεί, καὶ ἤτοι μόνην, ἢ σὺν ὀνόματι, ἢ ἐπιῤῥήματι. οἷον αἱροῦμαι ἀρετήν, ἣν πταίσαντα οὐδεὶς ἄν με ἀφέλοιτο. ἐπαινῶ τὸν τρόπον Σωκράτους, οὗ καθηγησαμένου, ἢ σπουδαίου γεγονότος πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν. Καὶ σὺν ἐπιῤῥήματι, οὗ ἄριστα τὸν βίον διάγοντος. Μετοχὴν δὲ ἑτεροπροσωπικῶς, ὡς καὶ τοῖς κυρίοις, καὶ προσηγορικοῖς ἐπάγομεν ὧδε. ἐπαινῶ Σωκράτην, ὃν ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας πολλοὶ μιμησάμενοι ἐπέδωκαν περὶ τὰ καλά. Ἔτι τὸ ὑποτακτικὸν πολλάκις, οὐ πρὸς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα, ἀποδίδοται, ἀλλὰ πρὸς ἣν τὸ ἡγούμενον. Ἀττικὸν δὲ τὸ τοιοῦτο, χρῶμαι, οἷς ἔχω βυβλίοις. καὶ ἀπολαύω, ὧν ἔχω ἀγαθῶν. Ἔτι τὸ ὑποτακτικὸν ἔστι μὲν, οὗ πρὸς πληθυντικὸν ἑνικὸν ἀποδιδόμενον εὕρηται. οἷον ἀνθρώπους τίννυσθον, ὅστις κ᾽ ἐπίορκον ὀμόσσῃ. ἔστι δ᾽ οὗ τὸ ἀνάπαλιν, μήτις Ἀχαιῶν ἔνθα δ᾽ ἐπέλθῃ βουληφόρος, οἵ τέ μοι ἀεὶ βουλὰς βουλεύουσι. Προσκείσθω δὲ καὶ λαμβάνειν ἔνθα ἂν οἷόν τε ᾖ ἀντὶ τοῦ ὑποτακτικοῦ προτακτικόν, καὶ ἀντὶ τοῦ ἑπομένου ῥήματος μετοχήν, τὴν αὐτὴν τοῦ λόγου φυλάττοντας ἔννοιαν. εἶναι γε μὴν ὁμοιόπτωτα, καὶ ὁμοιογενῆ, καὶ ὁμοιάριθμα τὰ μεταληφθέντα ἀλλήλοις τε, καὶ τοῖς ἡγουμένοις πτωτικοῖς δεῖ. Σωκράτης, ὃς πολλὰ πεποίηκεν ἀγαθά, ὁ πολλὰ πεποιηκὼς ἀγαθά. κἂν μὴ ᾖ δὲ τὸ ὑποτακτικὸν πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ σύστοιχον, ἢ συνώνυμόν τι, ἢ ὅμοιον ὧδε. Σωκράτης, οὗ λέγω ἐπ᾽ ἀρετῇ

πολὺς, τοῦ μάλιστα δὴ ἀρετὴν ἐπαινουμένου, τοῦ πολὺ μὲν ἐπ' ἀρε-
ἐχρῆτο. τῇ λόγου μὲν ἔχοντος. Σωκράτης, ὦ Πλάτων διδασκάλῳ* ἐχρήσα-
το. τῷ διδάξαντι Πλάτωνα, ἢ καθηγησαμένῳ Πλάτωνος.

Prolepſis.

Vbi ſanè & ſi per præſumptionẽ plurale uerbum præponitur, ante utrũq; quod ſequitur nominatiuũ, oportet præcedere in collectione. ut aquilæ uolauerunt duę, altera quidem ab oriente, altera uero ab occidẽte. Si ad diſtributa ſingulare ſequitur, genitiuus neceſſe eſt, antecedat pluralis. duarum aquilarum altera quidem ab oriente uolauit, altera uero ab occidente. Licet tamẽ & ſingulare aliquando in ſingularia diuidere, aliquando etiam in pluralia. ut humanum genus partim quidem bonum, partim uero malum. & humani generis alij quidem boni, alij uero mali. Et rurſum plurale interdum quidem in pluralia, interdum uero in ſingularia. hominũ alij quidẽ boni, alij uero mali. duarũ uolucrũ alia qdẽ uolatilis, alia uero nõ. ſi igitur rectus pręcedat, ponatur in collectione uerbum. ſi uero genitiuus, in diuiſis ut oſtenſum eſt. Volentibus uero & collectionem, & partitionem per obliquos proferre, neceſſe eſt utique & participio uti obliqui caſus, ſumpto loco uerbi, & trãſitionem in diuerſam perſonam facere. ut aquilarum uolantiũ, huius quidem ab oriente, illius uero ab occidente æqualis uelocitas. Et per datiuum, aquilis uolantibus, huic quidẽ, illi uero. Et per accuſatiuum, aquilas uolantes, hanc quidem, illã uero. nam illud Homeri, Ambobus uero ſedentibus uenerabilior erat Vlyſſes, Solœciſmo eſt ſimile. Cæterũ propriũ præpoſitiui neutri articuli, nõ omnibus modo orationis partibus, ſed orationi ipſi annecti materialiter. iſta dictio homo, hæc dictio mulier, hoc uerbũ dico. hæc oratio. Socrates diſputat. Quamobrẽ ſumenda erũt ut neutrum huiuſmodi omnia, & indeclinata. Item iſte articulus qui ſi cum accuſatiuo nominis copuletur, neceſſe eſt, ut non ad pręcedẽs nomẽ ſolum, uerumetiã ad ſubiunctum ipſi aliud uerbũ proferatur. Virum mihi dic Muſa multiſcium,

Ex li. Iliad. 3.

Articuli poſtpoſitiui conſtructio.

Initium Odyſſeæ Homeri.

tiſcium,qui plurima peragrauit:tranſitio autem hoc loco eſt à perſona in perſonam. Quod ſi rectus adiungitur recto, ad eandem perſonam ambo uerba referuntur. uenit uir,qui literas mittebat. Rurſum ſi duo obliqui fuerint, uel ad alteram perſonã fieri poteſt.ut hominem,cuius miſereor, nutrio. uel per reciprocũ, meipſum quem diligo, curo. Si autem alter caſuum fuerit rectus, alter uero obliquus, interdũ ad nominatiuũ tranſitio uerbalis fiet à perſona in perſonã. laudat Danaos Homerus, quem honoro. & rurſum, obijt Patroclus, quem dilexit Achilles. Frequentius tamen ad obliquum,honoro Homerum,qui Danaós laudat. Prætereà obliqui articuli qui ad rectos omnium caſualium referuntur, Homerus,cuius,cui, quem. è contrario qui nominatiuo omnes aliorum caſus congrue adiunguntur,Homerus qui Iliada cõſcripſit. Homero,qui. Homerum,qui. Homere, qui. Et item qui obliqui caſualium obliquis omnes omnibus adiunguntur,Homerus,cuius, cui,quem. in reliquis ſimiliter adiunctis etiam præpoſitionibus,à quo,cum quo,circa quem. Eſt autem quando poſt poſtpoſitiuum ſtatim participium inferimus in eodem genere, in eodemq́; & caſu, & numero uel oblique conſtructum, idq́; in genitiuo ſemper,aut ſolum, aut cum nomine,uel aduerbio. ut eligo uirtutem, quam præſentem nullus à me auferat. laudo modum Socratis, quo præeunte,& ſedulo exiſtente plurimi profecerunt ad uirtutẽ. Rurſum cum aduerbijs, quo optime uitã inſtituente. Participium etiam uariata perſona ut proprijs,& appellatiuis ſubiungimus hoc pacto. laudo Socratem,quem ob uirtutem quę in ipſo ſumma fuit,multi imitati profecerunt circa honeſta. Prætereà poſtpoſitiuum ſępenumero non ad quem caſum exigit ſequens uerbum, redditur, ſed ad quem præcedẽs, uerum Atticum eſt hoc. utor, quos habeo,libris. & fruor, *Attica conſtructio.* quæ habeo,bonis. Ad hæc poſtpoſitiuus interdũ articulus ad uerbum plurale ſingulare reddi inuenitur,ut homines *Ex Home. carmen Ilia. tertio.* punitis,quiſquis falſum iuramentum iurauerit. interdum

tis caſum referuntur ſubintellectum, ut oratio quidem hęc prima, ſecunda uero quæ Philoſophorum. Reſpondetur etiam huic nomini quis interrogatiuo per qui poſtpoſitiuum cum uerbo eodem præcedente, uel cum altero quopiam: ut quis fecit Odyſſeam? qui & Iliada fecit. et omiſſo uerbo extrinſecus à communi, quis fecit Odyſſeam? qui & Iliada. quando autẽ cum altero, unice. quis Cerberum ex inferno eduxit? qui in Nemea leonẽ interfecit. et cum præpoſitiuo quidem articulo, & participio fieri poteſt redditio ſimiliter. quis fecit Odyſſeam? & Iliadẽ modulatus. quis eduxit Cerberum? & leonis interfector.

Συνθήκη.

Βελτίων δὲ πολλάκις συνθήκη λόγου ἀποτελεῖται, τῶν ἄρθρων τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων, ἀλλά τινος μεσολαβομένου ἑτέρου, οἷον οἱ τὴν φροντίδα ἔχοντες. ἔνθα δὴ καὶ συμβαίνει ἐπ᾽ ἀλλήλα τε κεῖσθαι τὰ ἄρθρα, καὶ μὴν τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις πτωτικοῖς, ἀλλ᾽ ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων ἀεὶ τοῦ δευτέρου τῶν πτωτικῶν γίνεται, λέγω δὲ περὶ δυοῖν ἀεὶ τελευτώντων. ὥστε κἂν τρία ἐπάλληλα ᾖ, ταυτὸ αὖ τῷ δευτέρῳ πρὸς τὸ πρῶτον συμβαίνειν, ὡς τόγε πρῶτον, καὶ δεύτερον ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς οὐδὲν αὖ κωλύοι. οἷον οἱ τὴν τῶν ἁπάντων ἀνειληφότες φροντίδα, ἀλλὰ τὰ μὲν τοιαῦτα ἑτέρας ἐστὶν θεωρίας.

Compoſitio.

Melius autem pleruñq; compoſitio orationis perficitur, ſi articuli à proprijs caſualibus ita ſeiungantur, ut quicq̃ intercedat aliud, ut curam habentes. quo in loco ſanè etiam contingit, ut inter ſeſe continui iaceant articuli, neq; eandem conſtructionem ſeruent cum proprijs caſualibus, ſed inuerſam. nam primus articulus ſemper ſecundi caſualis fit, loquor de duobus ſemper ultimis. unde ſi tres continui fuerint, idem ſecundo ad primum continget, quemadmodũ etiam primũ, & ſecundũ ſimiliter ordinari cum *Articulorum coniunctio.*

ſuis ipſorum caſualibus nihil prohibet. cuiuſmodi eſt, omnium aſſumentes curam. uerum hæc quidem nō huius ſunt conſyderationis.

ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΑΣ.

Ἀντωνυμία ἢ ὑπὲρ τοὔνομα λέξις ἐστὶ λαμβανομένη ἀντὶ ὀνόματος, τῶν γὰρ ὀνομάτων πρώτου, καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. ἐγὼ γράφω, σὺ γράφεις, ἐκεῖνος γράφει.

DE PRONOMINE.

Pronominis finitio.

Pronomen uerò prout uox ſonat, dictio eſt aſſumpta pro nomine. etenim cum nomina prima, & ſecūda careant perſona, hoc quidē acceſſit, quod poſſet omnē perſonā exhibere uerbis ad orationis perfectionē. ego ſcribo, tu ſcribis, ille ſcribit.

Διαίρεσις.

Διαιρεῖται δὲ εἰς πρωτότυπον, καὶ δεικτικὴν, καὶ ἐπιταγματικὴν καὶ ὅσα ἄλλα διώρισται πρότερον. ἔστι δὲ καὶ ἡ μὲν ἐντελὴς, ταῦτα ἐμοί. ἡ δὲ ἐγκλιτική, ταῦτά μοι. καὶ αἱ μὲν αὐτοπαθεῖς, εἴτ᾽ οὖν ἰδιοπαθεῖς, ἐμαυτόν. αἱ δὲ ἑτεροπαθεῖς, οἷον ἐμέ.

Diuiſio.

Pronominis diuiſio.

Diuiditur autem pronomen in primitiuum, demonſtratiuum, & appoſitiuum, & in quæcunque alia diuiſum eſt prius. Porrò aliud eſt perfectum, hæc mihi. aliud inclinatiuum, hæc mihi. rurſum quædam per ſe paſſa, ſiue reciproca, meipſum. quædam paſſa quiddam extrinſecus, ut me.

Πρωτότυποι.

Τῶν μὲν οὖν πρωτοτύπων αἱ εὐθεῖαι πρὸς ἀντιδιαστολὴν αἰεὶ ἑτέρων λαμβάνονται, ἡμεῖς εἴπομεν, καὶ οὐχ ἕτεροι. ἐγὼ γέγραφα, καὶ οὐχ ἕτερός τις. αἱ δὲ πλάγιαι ἣν μὲν ὀρθοτονῶνται, καὶ αὗται δὴ πρόσωπα διαστέλλουσιν. ἐμοῦ ἤκουσας, καὶ οὐκ ἄλλου. ἣν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι. ἤκουσάς μου, καὶ ἔδωκάς μοι, καὶ εὔφρα-

νάς με. Ταύτῃ δὲ αὗταί τε, καὶ αἱ καλούμεναι δεικτικαὶ, καὶ ἀναφορικαὶ οὐκ ἐπιδέχονται ἄρθρον.

Primitiua.

Primitiuorum igitur nominatiui ſemper ad diſcretionẽ perſonarũ aliarum ſumuntur, nos diximus, & nõ alij. ego ſcripſi, & nõ aliter. Obliqui uerò ſiquidem debitũ habeãt tonum, & hi quoq; perſonas diſtinguũt. me audiuiſti, & non alium. quod ſi initialẽ abijciat uocalẽ, abſolutè dicuntur inclinatiui. audiuiſti me, & dediſti mihi, & lætificaſti me. Omnino autẽ & hæc, & quæ uocantur demõſtratiua, & relatiua non ſuſcipiunt articulum. *Primitiuorum uſus.*

Παραγωγοί.

Ταῖς γε μὴν παραγώγοις τὰ ἄρθρα προτίθεται, ὥσπερ καὶ τῶν ἐπιθέτων δή, καὶ τῶν ὀνομάτων. ταὐτὸν γάρ πως ἐκείνοις δύνανται, ὅλως τε σύνταξιν ἔχουσιν, ἥν τὰ ἐπίθετα, καὶ αἱ μετοχαὶ πρὸς τὰ κύριά τε, καὶ προσηγορικά, ὁμοιογενῶς δὲ, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως τοῖς κυρίοις τὰ, καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος, ἡ ἐμὴ οἰκία, τὸ ἐμὸν οἴκημα. ὁ ἡμέτερος πατὴρ, ἡ ἡμετέρα μήτηρ, τὸ ἡμέτερον τέκνον. Ἀνάγκη δὲ ταῖς κτητικαῖς, ταῖς δὲ ῥήματι πρώτου, ἢ δευτέρου προσώπου συναπτομέναις τὰς πρωτοτύπους συντάττειν, καθάπερ καὶ τοῖς ὀνόμασιν. οἷον σὺ μὲν ὁ ἐμὸς παῖς μανθάνεις, ἐγὼ δὲ ὁ σός γε πατὴρ διδάσκω, ὥσπερ σὺ μὲν ὁ Πλάτων διδάσκεις, ἐγὼ δὲ ὁ Σωκράτης διδάσκω. Ἔτι αἱ μὲν τοῦ πρώτου, καὶ δευτέρου προσώπου κτητικαὶ, τοῖς ἔξωθεν εὖ μάλα προσώποις συνάπτονται. οἷον ὁ ἐμὸς παῖς σε, ἢ ἐκεῖνον φιλεῖ. αἱ δὲ τοῦ τρίτου δίχα τοῦ ἑτέρου τὸν κεκτημένον δηλοῦντος αὐτὸν συνταχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι, Σολοικισμὸς γὰρ τὸ φάναι ὁ σφέτερος παῖς φιλεῖ ἐμέ. καὶ οὖν ὁ σφέτερος αὐτῶν παῖς ῥητέον, ἢ ὁ παῖς αὐτῶν, ἀντὶ τοῦ κτητικοῦ.

Deriuatiua.

Deriuatiuis tamen articulis præponuntur, quemadmodum & adiectiuis etiam nominibus. eandem enim cum illis uim, eandemq; omnino conſtructionẽ habent, quam & adiectiua, & participia cum nominibus proprijs, & appel- *Deriuatiuorum uſus.*

latiuis, nempe in ſimili genere, in ſimili caſu, & ſimili numero cũ proprijs, & appellatiuis conſtruitur. mea domus, mea habitatio, meum domicilium. noſter pater, noſtra mater, noſter filius. Neceſſe eſt etiam poſſeſsiuis quæ uerbo primæ, uel ſecundæ perſonę cõnectuntur primitiua adiungi, perinde ac nominibus. ut tu meus puer diſcis, ego uero tuus pater doceo. quemadmodũ tu quidẽ Plato doceris, ego uerò Socrates doceo. Rurſum primæ, & ſecundæ perſonæ poſſeſsiua cum aſſumptis eſtrinſecus perſonis aptè coniunguntur. ut meus puer te, uel illum diligit. tertiæ uerò ſine uoce altera poſſeſſorem ſignificante copulari cum diuerſa perſona nolũt, Solœciſmus enim eſt, ſi quis dicat, ſuus filius diligit me. & igitur ſuus ipſorũ puer dicendũ, uel puer ipſorum ſine poſſeſsiuo.

Ἀντιμετάβασις.

Κατὰ μὲν τοί γε ἀντιμετάβασιν εὖ ἔχει συντάξεως τὸ σφέτερον μόνον, ὡς καὶ τὰ τοῦ πρώτου, καὶ δευτέρου προσώπου. καλῶ δὲ ἀντιμετάβασιν, ἵνα ἑκατέρωθεν ἡ ἐπὶ θάτερα μετάβασις θεωρεῖται ῥήματος. οἷον δέονταί σου τοῖς σφετέροις ἐπικουρῆσαι, καὶ τοῖς Θεοῖς εὔχομαι πᾶσι, καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει, καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν. Ἔτι αἱ κτητικαὶ ὡς ἁπλῶς εἰπεῖν, πρὸς τὰ ἔχοντα, οὐ πρὸς τὰ ἐχόμενα. οἷον τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. ἐνίοτε μέντοι καὶ πρὸς τὰ ἐχόμενα, τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν. ὅμοιον δὲ καὶ τὸ, Ἔγνως Ἐννοσίγαιε ἐμὴν ἐνὶ στήθεσι βουλήν.

Retranſitio.

Quando fiat perſonæ in pſonã mutua tranſitio.

In reciprocatione tamen bene ſe habet cõſtructio, ſi ſuũ ſolum habet. ut pronomina primæ, & ſecundæ perſonæ. uoco autem tranſitionem, quando ab utraq; perſona in utranque tranſitio conſpicitur uerbi. ut rogant te ſuis auxiliari, & Deos, Deasq; precor omneis, ut quantã beneuolentiam habere perago & erga hanc urbem, & uos omneis, tantundem fore mihi apud uos. Poſſeſsiua etiã ut paucis dicam, ad ea referuntur, quæ poſsident, non quæ poſsidentur,

Ex Procemio orationis Demoſthenis περὶ Στεφάνου.

dentur, ut lumen meorum oculorum. nonnunquam tamen ad ea quæ poſſidentur, meum lumen oculorum. ſimile uerò & hoc, Noſti Neptune meum in pectoribus conſilium.

Διαφορά.

Διαφέρει δὲ τὰ περὶ τὴν σύνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου, ᾗ δὴ ἡ μὲν πρωτότυπος συντάσσεται ῥήματι, καὶ ὀνόματι, καὶ μετοχῇ. παῖδα δέ μοι λύσαιτε φίλην. τὰ μὲν μοῦ βουλάων ξυνίον ἀέκοντος ἐμοῖο. καὶ ταυτοπροσωπικῶς τε, καὶ ἑτεροπροσωπικῶς. ἐκεῖνος γὰρ ἀρχῆς λαμβανόμενος παρ᾽ οὐδὲν ἦγε τοὺς ἄλλους, ὁ δὲ μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως ἦει ἐπὶ τοὺς πολεμίους. οἷον δὴ καὶ τὸ Δημοσθένους, κατασκευάσας γραφὴν οὐκ ἐπ᾽ ἐμέ, ἀλλ᾽ ἐπὶ τὸν θεῖόν μου. ἡ δὲ παράγωγος ὀνόμασι μόνοις, τίσειαν Δαναοὶ ἐμὰ δάκρυα.

Differentia.

Differt autem in cõſtructione deriuatiuum pronomen à primitiuo, quatenus ſanè primitiuum adiungitur uerbo, & nomini, & participio. ut Filiam autẽ mihi ſoluereq; charam, & quidem mea conſilia intelligebant inuito me. & tam in eadem perſona, quàm in diuerſa. ille imperium nanciſcens, nihil ducebat alios, hic uerò maxima circa ipſum collecta manu ibat in hoſteis. ut ſanè & illud Demoſthenis, cum præparaſſet libellum nõ in me, ſed in auunculum meum. deriuatum uerò nominibus ſolis, luant Danai meas lachrymas.

Iliados α.

Demoſthenes in oratione κατὰ Ανδροτίωνος.

verba Chryſæ Iliados α.

Αὐτοπάθεια.

Ἐπ᾽ αὐτοπαθείας γε μὴν οὔτ᾽ ἐν πρωτοτύπῳ, ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε, καὶ πάσχῃ. οὔτ᾽ ἐν παραγώγῳ χρώμεθα, ἀλλὰ τοῖς συνθέτοις. ἑαυτοῖς βοηθοῦμεν, καὶ ὅρα σαυτόν.

Reciprocatio.

In reciprocatione tamen neq; primitiuo cum eadẽ perſona & agit, & patitur. neq; deriuatiuo utimur, ſed compoſitis. ut nobis ipſis auxiliemur, & uide teipſum.

Ἐπαναφορά.

Συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ ἐν τρίτῳ προσώπῳ, δι᾽ ἧς προκατειλεγμένα ἄττα ὀνόματα σὺν ἀναμνήσει ἀντωνομάζοιτ᾽ ἄν, ληφθῆναί γε μὴ δυνάμενα ἔτι. Ζεὺς δ᾽ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ᾽ ἐχέμεν καὶ ὀϊζὺν νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ· εἰ γάρ τις Ζεὺς πάλιν λέγοι, καὶ οὐκ αὐτός, οὐ συνάψει ἀμφότερα πρὸς τὸν Δία, ἀλλ᾽ ἀρχὴν ὥσπερ λόγου ἑτέρου ποιήσεται. Ἐγγὺς δέ τι τούτου καὶ τὸ ὑπῆρχε δὲ Κύρῳ αὐτὸν μᾶλλον φιλοῦσα, οὐ μόνον δὴ αὐτωνόμασται, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἀντωνυμιῶν ἐπινοῆσαι ἔστιν, ἀλλὰ καὶ ἀναφέρεταί γε, ὥσπερ οὐκ ὀνομάτων ἂν εἴη, ἀλλ᾽ ἢ προσλαβόντων τὰ ἄρθρα.

Relatio.

Accidit præterea & pronomini relatio in tertia perſona, per quam prædicta quædã nomina cum recordatione per pronomen repetũtur, cum ſumi nõ poſsũt denuò. Iupiter uerò ut Troianos, & Hectora nauibus admouit, Hos ſiuit inibi tolerare laborẽ, ac ærũnas indeſinẽter, ipſe autẽ retroflexit oculos ſplẽdidos. ſi enim quis Iupiter rurſum dicat, & nõ ipſe, nõ alliget utrunq; ad Iouem, ſed principiũ quaſi orationis alterius faciet. Affine uerò huic & prævenit ad Cyrũ ipſum magis amans, ubi nõ ſolũ per pronomen reddidit, ut in cæteris pronominibus animaduertere licet, uerum relatio facta eſt, quæ ne in nominibus quidẽ fieri poteſt, niſi quæ aſſumpſerint articulos.

Initium Iliad. ν.

Xenophon.

Δεικτικαί.

Οὐ καθάπερ δὴ αἱ ἀναφορικαί, οὕτω δὴ καὶ δεικτικαὶ ἀντὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων, ἀλλ᾽ ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων. Ἴδιον δέ ἐστι τῶν ἀντωνυμιῶν καὶ τὸ κατὰ διαφόρους φωνὰς διάφορα ποιεῖν πρόσωπα τρίτα, τὰ γὰρ δὴ ῥήματα κατὰ μίαν φωνὴν πλέοσι τρίτοις ἀνήκει προσώποις. λέγομεν οὖν, ὅτι γράφει Σωκράτης, ἢ Καλλίας, ἢ ὁστισοῦν, οὐκέτι δὲ καὶ ἐπ᾽ ἀντωνυμίας ὡσαύτως. Διεῖσται δὲ τὰ τῶν ἀντωνυμιῶν πρόσωπα οὐ μόνῃ τῶν παρόντων δείξει, ἀλλὰ καὶ τῇ ἀναφορᾷ, καὶ ἀναπολήσει τῶν ἀπόντων.

ὅθεν δὴ καὶ ὑπὸ Ἀριστάρχῳ εἴρηται σύζυγοι εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας, ὁρίζεται γὰρ ὁμοίως κατὰ πᾶν πρόσωπον, ἤτοι ἐν δείξει, ἢ ἀναφορᾷ. τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων, εἰ μὴ τῷ ἐξαίρετόν τι. οἷον βροντᾷ, καὶ ἀστράπτει, καὶ ὕει. τὸν γὰρ Θεὸν ὑπονοητέον, ὡς ταῦτ' ἐνεργοῦντα, ἐπεὶ τόγε τρίτον οὐ πάνυ τι, οὐδ' ἐπὶ τούτων γε ὥρισται. Καθόλου δὲ ὥσπερ τὰ ὀνόματα, οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ πτῶσιν ἑκάστην συντάσσονται, καὶ ταῖς μὲν εὐθείαις ἀμεταβάτως, οἷον οὗτος τρέχει. ταῖς δὲ πλαγίαις μεταβατικῶς, τούτου φείδομαι, τούτῳ χαρίζομαι, τοῦτον ἐπαινῶ· ἢν μὴ τὰ ῥήματα ἀπόλυτα ἄττα καὶ ἄσχετα ᾖ, οἷον τὸ ζῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω.

Demonſtratiua.

Iam non quemadmodum relatiua, itidem & demōſtratiua uice antedictorum nominū ſumūtur, ſed eorum quæ demonſtratiue proferri nō poſſunt. Peculiare ſanè pronominibus & illud, iuxta diuerſas uoceis diuerſas reddere perſonas tertias. nam uerba una uoce pluribus etiā tertijs conueniunt perſonis. dicimus itaq;, quod ſcribit Socrates uel Callias, uel quicunq; alius, non item uerò & in pronomine ſimiliter. Definiuntur autem pronominū perſonæ non ſolum præſentium demōſtratione, ſed & relatione, & animaduerſione abſentiū. quamobrem ſanè & Ariſtarcho dictum eſt cognata eſſe perſonis pronomina, definiuntur enim ſimiliter per omnem perſonā, aut demonſtratione, aut relatione, cum uerba in tertia perſona indefinita ſint, niſi quæ excepti actus. ut tonat, fulgurat, pluit. nam Deus ſubintelligēdus, qui hæc agit, quandoquidem tertia non multum in his definita eſt. Generaliter autem quemadmodum nomina, ita & pronomina cum uerbis in caſū unoquoq; conſtruuntur, & cum rectis quidem intranſitiuè, ut hic currit. cum obliquis uerò tranſitiuè, huius miſereor, huic gratificor, hunc laudo. niſi uerba abſoluta quidem, & independentia ſint. ut uiuo, ditor, & ualeo.

Διακριτικόν.

Προστίθεμεν δὲ τὴν εὐθεῖαν τοῖς ῥήμασι πολλαχῆ, οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει, καὶ νοουμένην. ἀλλ' ἤτοι πλείονος ἐνδείξεως ἕνεκα, ἢ διαστολῆς. διακριτικωτάτη γάρ τοι προσώπων ἡ ἀντωνυμία ἄλλως τε, κἂν σύνδεσμος προσλαμβάνηται ὧδε. σὺ μὲν ἐδίδασκες τὰ γράμματα, ἐγὼ δὲ ἐφοίτων.

Diſcretiuum.

Demoſthenes in oratione περὶ Στεφάνου.

Cæterum apponimus rectũ uerbis plerunq;, nõ tanquã qui non inſit uirtute, & intelligatur. ſed uel maioris ſignificantiæ cauſa, uel diſcretionis. diſtinguit enim maxime perſonas pronomen aliterq;, & ſi cõiunctio aſſumatur ſic. tu quidem docebas literas, ego uero ueniebam ad ludum.

Συνθετοί.

Τῶν δὲ συνθέτων χρῆσις μὲν ὥσπερ εἴρηται, ἐπὰν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε, καὶ πάσχῃ. ἑκάστη δὲ ἐπὶ τὸ ἐνεργοῦν αὐτὸ ἐπιστρέφει, ἢ ἐπί τι τῶν αὐτοῦ ὥσπερεὶ ἀντανακλωμένη. σώζω ἐμαυτὸν, σώζω τὰ ἐμαυτοῦ. ἔστι δὲ φάναι καὶ τὰ ἐμαυτοῦ ἐμὲ σώζει, ὥς τε διχῶς ἡ περὶ τὸ αὐτοπαθὲς κτητικὸν σύνταξις, ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, ἢ ἀνάπαλιν. ἔνθα δὴ καὶ μεταλαμβάνειν ἔξεστιν ὄνομα ἰσοδυναμοῦν, οἷον τὸ ἴδιον, ἢ οἰκεῖον, ἢ τοιοῦτόν τι. Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει, καὶ τὸν ἴδιον παῖδα. πρός τε αὐτῷ τῷ ὀνόματι καὶ τὴν γενικὴν τὰ σύνθετα συντάσσειν, ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα, φιλεῖ πᾶς ὁστισοῦν τὸν ἴδιον ἑαυτοῦ υἱόν. Ὁμήρου ἴδιον τὸ βυβλίον, τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ. Κοινὸν δὲ ταυτὸ ἴδιον καὶ πρὸς τὰς κτητικὰς, οἷον σὸν ἄρα ἐστὶν ὦ Σώκρατες καὶ ἴδιον γνῶναι τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος, καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον. Τὸ δ' ἐμὲ αὐτὸν ὠφελεῖ, ἐπιτατικῶς λέγεται, πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον. Ὅτι δὲ τὸ σύνθετον ἐπὶ μόνων τῶν ἑνικῶν, διὰ τοῦτο τῇ ἀναφορικῇ συντάσσοντες ταῖς ἁπλαῖς χρώμεθα ὁμοιοτρόπως ἐπί τε δυϊκοῦ, καὶ πληθυντικοῦ. οἷον νῶϊ αὐτὼ ὠφελοῦμεν, νῶϊν αὐτοῖν ἁπτόμεθα, σφῶϊ αὐτὼ ὠφελεῖτον. Οὐκ ἔτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως, κἀπὶ τῶν πληθυντικῶν δέ τοι ὡσαύτως. ἡμῶν αὐτῶν, ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτούς.

σφῶν

σφῶν αὐτῶν, σφισὶν αὐτοῖς, σφᾶς αὐτούς. Ἔστι γε μὴν πληθύνοντι λέγειν καὶ ἑαυτῶν, ἑαυτοῖς, ἑαυτοὺς κοινῇ κατὰ πάντων προσώπων. ἑαυτοὺς ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν. οὐκέτι δὲ καὶ ἑαυτὸν ὠφελῶ, ἢ ὠφελεῖς. διελέγχεται γὰρ τὸ ἀκαταλλήλως ἔχον ὑπὸ τοῦ ἐμαυτὸν, ἢ σαυτὸν, ὡς εἴρηται.

Compoſita.

Porrò compoſitorum uſus ut dictum eſt, quoties eadem perſona & agit, & patitur, horum autem unumquodque in agens ipſum retorquetur, uel in aliquid illius tanquam refractiuum. ſeruo meipſum, ſeruo quæ meiјpſius. dici poteſt & quæ meiјpſius me ſeruant, itaque fit dupliciter circa reciprocum poſſeſſiuum cõſtructio, ſiue à poſſeſſore in rem poſſeſſam, ſiue contra. ubi etiam aſſumere licet nomen ęquiualẽs, quale eſt peculiare, uel proprium, uel tale quid. Socrates ſuiјpſius filiũ inſtituit, & proprium filium. licet & nomini ipſi genitiuum pronominis compoſiti adiungere, relinquo hæredem proprium meiјpſius filium, amat unuſquiſque proprium ſuiјpſius filium. Homeri proprius liber, propria loquentis cura. Commune etiam & hoc ipſum poſſeſſiuis, ut tuum utiq; eſt o Socrates, & hoc cognoſcere, omnia iuſta inter nos cognoſcentis, & meam quidem ipſius miſeri uitam. Illud uero, me ipſum iuuat, intenſiue dicitur, ad imitationem, me iuuat, abſoluti. Verũ quia compoſitũ ſingulariter ſolum profertur, ideo cum relatiuo componimus ſimplicia, hisq; utimur in eodem caſu tam in duali, quàm in plurali. ut nos ipſos iuuamus, nobis ipſis iungimur, uos ipſos iuuatis. uerum in tertia perſona nõ ſimiliter, in pluralibus tamen ad hũc modum. noſtrum ipſorum, nobis ipſis, nos ipſos, ueſtrũ ipſorũ, uobis ipſis, uos ipſos. Licet etiã in plurali dicere & ſuiјpſorũ, ſibiјpſis, ſeipſos cõmuniter per omneis perſonas. ſeipſos iuuamus, iuuatis, iuuant. uerũ non item & ſeipſum iuuo, aut iuuas. deprehenditur enim incongruentiam habere à meipſum, ut dictum eſt.

Platonis in Gorgia.

Ἀλληλοπαθές.

Παραπλήσια δέ πως τούτοις καὶ ἡ τοῦ ἀλλήλου σύνταξις, δι' αὐτοπάθειαν γὰρ τοῦ ὅλου ἀθροίσματος, καὶ ταῦτα ἐπὶ τῶν συμπλεκομένων λαμβάνοντες λέγομεν. ἀλλήλους ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν. ἔτι γε μὴν οὐ τὰ μέρη καθ' ἕκαστον ὑφ' ἑαυτῶν πάσχει, ἀλλ' ὑφ' ἑτέρου ἀμοιβαδὸν προσαγορευέσθω ἡμῖν μὴ αὐτοπαθὲς τὸ τοιοῦτο, ἀλλ' ἀλληλοπαθές. Δῆλον δ' ἄρα καὶ ὡς αἱ τοιαῦται ἀντωνυμίαι ῥήματα οὐκ ἂν ἐπιδέχοιντο παθητικά, τὸ γὰρ αὐτοπαθὲς ἐνέργεια τοῦ εἰς ἑαυτὸν ἐνεργοῦντός ἐστιν, ὡς εἴρηται.

Mutuopaſſum.

Conſimilis autẽ eſt quodãmodo his & inuicem conſtructio, nam loco reciprocationis uniuerſi aggregati; & hæc in cõplexu accipiẽtes dicimus. inuicem iuuamus, iuuatis, iuuant. ſed quoniam non partes ſingulæ à ſe ipſis patiuntur, ſed ab alia alia uiciſſim nuncupetur nobis nõ reciprocatio huiuſmodi, ſed mutua paſſio. Manifeſtũ igitur, ut talia ꝓnomina uerba paſſiua non poſſint admittere. etenim reciprocatio actus in ſeipſum agentis eſt, ut dictum eſt.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΣ.

Ἡ δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου μερῶν, καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη διῄρηται μὲν πρότερον. ἐνταῦθα δὲ ὅπως συντάσσεται, θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λόγου μερῶν, ἢ κατὰ σύνθεσιν, ἢ κατὰ παράθεσιν. συνθέσεως μὲν γὰρ τὸ σύνοικος, πάροικος, ἔποικος, μέτοικος. παραθέσεως δὲ τὸ ἐπὶ τὴν Ἀττικήν, κατὰ τῆς Ἀττικῆς. ταύτην δὲ τὴν ἐκ παραθέσεως σύνταξιν δηλοῦν βούλονται καὶ οἱ προτίθεσθαι λέγοντες ἔν τε συνθέσει, καὶ συντάξει. ἐοίκασι δ' αἱ προθέσεις συνδεσμικῆς συντάξεως γενόμεναι παρεμφαντικαί, ὅθεν καὶ τοῖς Στωικοῖς προθετικοὶ σύνδεσμοι ἐκαλοῦντο. τὸ γὰρ διὰ τί λυπῇ, τὸ ἕνεκα τίνος λυπῇ, παρεμφαίνει, καὶ τὸ ἐκ ῥαθυμίας τὸ ἕνεκα ῥαθυμίας. οὐ δὴ οὖν ἀπεμφαῖνον, εἰ καὶ τὸ ὅτι παραδεξάμενον τὴν διά, καὶ κατὰ σύνταξιν ἐπέχει συνδεσμικήν, τοῖς γε μὴν ῥήμασιν αἰεὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον

κατα-

καταγράφω, καὶ προκαλοῦμαι. ἐνδεθὲν γέ τι ἡ κλίσις κατέγραφον, ἔτι τοῦ ἁπλοῦ διαφέρον δηλοῦται ἐκ τῆς συνθέσεως. εἰ γὰρ μηδὲν γέ τι πλέον, ἔξωθεν ἡ κλίσις καθάπερ καὶ τοῖς ἁπλοῖς. καθεύδω, ἐκάθευδον. καθέζομαι, ἐκαθεζόμην. πρόθεσις δὲ κατὰ παράθεσιν σὺν εὐθείᾳ, ἢ κλητικῇ οὐδέποτε τάξεται, συντάσσεται δὲ ταῖς πλαγίαις ὧδε.

DE PRAEPOSITIONE.

CAeterum præpoſita dictio omnibus orationis partibus, eamq; ob rem præpoſitio nominata diuiſa eſt quidem prius. hic uerò quonam pacto cōſtruatur, cōſyderemus. præponitur itaq; orationis partibus aut per compoſitionem, aut per appoſitionem. cōpoſitioois enim eſt, cōtubernalis, aduena, domeſticus, inquilinus. appoſitione uerò, in Atticam, uel de Attica. hanc autē quæ ex appoſitione eſt, conſtructionem ſignificare uolunt, præpoſitionē dicentes præponi tam in compoſitione, quàm in conſtructione. Videntur autē præpoſitiones cōiunctionalis conſtructionis eſſe declaratiuæ. *Præpoſitiuæ côiunctiones.* unde & à Stoicis præpoſitiuæ coniunctiones uocabantur. nam ꝑpter quod dolet, idem quod gratia cuius dolet, notat. & ex negligentia, idem quod ob negligentiam. nec ſanè latet, ſi & quòd coniunctio, aſſumpta per, aut ſecundū conſtructionē retineat cōiunctionalem. nempe uerbis ſemper ex compoſitione adſunt præpoſitiones, ut deſcribo, & proteſtor. fitq; intrinſecus inflexio, ut deſcribebam, ſiquid aliud à ſimplici repręſentet compoſitum. quod ſi nihil amplius, extrinſecus fit inflexio, uelut & in ſimplicibus. dormio, dormiebā. ſedeo, ſedebam. Porrò præpoſitio per appoſitionem cum recto, aut uocatiuo nunquā ordinatur, conſtruitur autē cum obliquis ad hunc modum.

Ἐν.

Ἡ μὲν ἐν ἀεὶ δοτικῇ, ἐν οἴκῳ, ἐν * ἀγορᾷ. τὸ δ' ἐν Ἅδου, καὶ *ἀγρῷ* ἐν διδασκάλου, ἐλλειπτικῶς. δεῖ γὰρ κἀν τούτῳ ὑπονοεῖν τὸν τόπῳ, ἢ οἴκῳ δοτικήν.

n

In.

Ἐν præpoſitio quidem ſemper cum datiuo, in domo, in agro.
foro. illud uero in inferni, & in præceptoris, per defectū
dicitur. Eſt itaq; hic intelligēdus loco, aut domo datiuus.

Εἰς.

Ἡ δὲ εἰς ἀεὶ αἰτιατικῇ, εἰς ἐκκλησίαν, εἰς ἀγορὰν. τὸ δὲ εἰς
ᾅδου, καὶ εἰς διδασκάλου ἐλλειπτικῶς, ὡς καὶ ἐπὶ τῆς ἐν. ἀλλὰ
γὰρ ἐπὶ μὲν ἀψύχων τῇ εἰς, ἐπὶ δ᾽ ἐμψύχων τῇ πρὸς μάλιστα
γε χρηστέον. πορεύομαι εἰς ἀγορὰν, πέμπω τὸ χρυσίον πρὸς
σε. ἰδιαίτερον δὲ τῇ μὲν εἰς ἐπὶ ἐπαίνου, καὶ ἀναφορᾶς, τῇ δὲ
πρὸς τὸ ἀνάπαλιν. ἀνήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα, φα-
μὲν, καὶ ὕμνος εἰς Ἀπόλλωνα, πολεμεῖ δὲ πρὸς ὁμόρους.
καθ᾽ ἣν δὴ ἔννοιαν καὶ τῇ εἰς ἐστὶν ὅτε χρηστέον, ἠγνωμονήκε-
σαν εἰς ἡμᾶς.

Εἰς.

Εἰς ſemper cum accuſatiuo, ad concionem, ad forum.
cæterum ad inferni, & ad pręceptoris defectiue dicitur, ſi-
cut & in ἐν. at enim in rebus quidē inanimatis εἰς, in ani-
matis uero πρὸς maxime utendum eſt. eo in forum, mitto
aurum ad te. magis proprie tamen εἰς utimur in laudem, &
in relationem, πρὸς autem contra. retulit enim ad Præto-
rem dicimus, & hymnus in Apollinem, item belligeratur
aduerſus finitimos. iuxta quam ſententiam & εἰς eſt quan-
doque utendum, ut ingrati fuerunt in nos.

Ἐξ.

Ἡ δὲ ἐξ ἀεὶ γενικῇ, ἐξ Ἀττικῆς, ἐκ μεγάρων.

Ἐξ.

Cæterum ἐξ ſemper cum genitiuo, ex Attica, ex ędibus.

Σύν.

Ἡ δὲ σὺν ἀεὶ δοτικῇ, σὺν Θεῷ, σὺν λόγῳ.

Σύν.

Σὺν uero ſemper cum datiuo, cum Deo, cum ratione.

Πρός.

Ἡ δὲ πρὸς γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ. γενικῇ μὲν,
ὅταν τὴν ἐκ τοῦ προσώπου σημαίνῃ κίνησιν, πρὸς Θεοῦ τἀγαθά.

ἢ συντάσ-

ἢ συντάσσεται ἐπὶ ὅρκου, ἤκει πρὸς Θεοῦ. ἢ τὸ ἐναντίον δηλοῖ, πρός τε Θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον, οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδάς. δοτικῇ δὲ, ὅταν τὸ ἐγγύς τι, καὶ παρακείμενον, οἷον πρὸς τοῖς ποσίν. αἰτιατικῇ δὲ, ὅταν κίνησιν πρὸς ἔμψυχον μάλιστά τι, ἢ ὡς ἄλλως δὴ εἴρηται. καὶ ἔτι ὅταν ἢ σχέσιν τινὰ, καὶ λόγον. ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ. ἢ παράδειγμα, ᾄδει πρὸς αὐλόν.

Πρός.

Πρὸς aũt cum genitiuo,& datiuo,& accuſatiuo. cum genitiuo quidẽ,quando à perſona ſignificat motũ,à Deo bona.aut cõſtruitur in iuramẽto, uenit per Deũ.aut cum corãm ſignificat, coramq; Dijs beatis, corãq; immortalibus hominibus. aut officiũ,nõ eſt Medici ſapientis dicere incantationes.Cum datiuo aũt quando & propè,& adiacens ſignificat,ut ante pedes.cũ accuſatiuo uero,quando motũ ad rẽ quãpiã animatã maxime,ut alibi iã dictũ eſt.Itẽ quando uel habitudinẽ aliquã,uel rationẽ notat.ut ſicut duo ad quatuor,ita & quatuor ad octo.aut exẽplũ,cantat ad tibiã. *Homericum. Sophocles in Aiace flagellifero.*

Πρό.

Η δὲ πρὸ ἀεὶ γενικῇ, πρὸ τῶν θυρῶν, πρὸ τοῦ χρόνου.

Πρό.

Porrò πρὸ ſemper cũ genitiuo, pro foribus,ante tẽpus.

Ἀνά.

Η δὲ ἀνὰ ἀεὶ αἰτιατικῇ, ἀνά τ᾽ ἔντεα, καὶ μέλαν αἷμα.

Ἀνά.

Ἀνὰ aũt cum accuſatiuo,perq; arma,& atrũ ſanguinem. *Homericum.*

Κατά.

Η δὲ κατὰ γενικῇ, καὶ αἰτιατικῇ. γενικῇ μὲν ἐπὶ καταφορᾶς, καὶ κατηγορίας, κατὰ Αἰσχίνου λόγος. καὶ ὅταν τὸ ἐπάνω, ἢ περί τι, ἢ περὶ τοῦ δηλοῖ. κατὰ γῆς κάθημαι, κατ᾽ ἀνθρώπου τὸ ζῷον. τὸ δὲ κατ᾽ οὐλύμποιο καρήνων, ἀντὶ τοῦ ἀπό. Αἰτιατικῇ δὲ, ὅταν τὸ παραβαλλόμενόν τε, ἢ ὅμοιον. οἷον καθ᾽ Ὅμηρον, καὶ κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί τι, καὶ ἔν τινι. καθ᾽ ὁδὸν ταῦτα ἐποίουν, ἢ ἐμμένον κατὰ χώραν. ἢ χρόνον, ὁ καθ᾽ ἡμᾶς γεγονώς. αἰὲν ἔνδοξος.

Κατά.

Κατὰ uero cũ genitiuo, & accuſatiuo conſtruitur. cum genitiuo quidem in delatione, & accuſatione, ut contra Aeſchinem oratio. & quando ſuper, & circa aliquid, uel de aliquo ſignat. ſuper terrā ſedeo, de homine animal. illud uero, ab Olympi uerticibus, pro ab. Cum accuſatiuo item, quando comparationis eſt, aut ſimilitudinis, ut ſecundum Homerum. ſecundũ mentem procedit. aut circa aliquid, & in aliquo, ſecundum uiam hæc faciebant, & manſerunt in regione. aut tempus, noſtris temporibus factus uir clarus.

Ex Homero hemiſtichiũ.

Διά.

Ἡ δὲ διὰ γενικῇ μὲν ἐνέργειάν τινα, ἢ τὸ μέσον δηλοῦσα. διὰ σοῦ ταῦτα ἂν ἄμεινον γίγνοιτο, καὶ ἐπορευόμην διὰ ἀγορᾶς. Αἰτιατικῇ δὲ αἰτίαν, διὰ σὲ ταῦτα γράφω. Ὅμηρος δὲ καὶ τὸ μέσον αἰτιατικῇ ἔστιν ὅτε φράζει, διὰ τ' ἔντεα, καὶ μέλαν αἷμα.

Διά.

Διὰ uero cum genitiuo, ſi actionis alicuius, aut interualli nota eſt. ut per te hæc forſan melius facta fuiſſent, & ibam per forum. Cum accuſatiuo autem, ſi cauſæ, propter hæc ſcribo. Homerus tamen & mediũ cum accuſatiuo interdum profert, perq; arma, & atrum ſanguinem.

Μετά.

Ἡ δὲ μετὰ γενικῇ μὲν τὸ ὁμοῦ σημαίνουσα, ἡδὺς μετὰ φίλων ὁ βίος. τὸ δὲ μετὰ τριτάτοισιν ἄνασσε, ποιητικόν. Αἰτιατικῇ δὲ τὸ ὕστερον, μετὰ τὴν ἑορτὴν, καὶ Πλάτων μετὰ Σωκράτην.

Μετά.

Μετὰ autem cum genitiuo quidẽ, quando ſimul ſignificat, ut ſuauis cum amicis uita. iam illud cum tertijs imperauit, Poëticum. Porrò accuſatiuo, quando poſt feſtum, & Plato poſt Socratem.

Iliad. α.

Παρά.

Ἡ δὲ παρὰ γενικῇ μὲν τὴν ἀπὸ προσώπου σημαίνουσα κίνησιν, οἷον παρὰ θεοῦ τ' ἀγαθά. ἡ μὲν γὰρ ἀπὸ, καὶ ἐκ τῆς ἀπὸ τόπου

μάλιστα

μάλιστα κινήσεως οἰκεῖαι. ἡ δὲ παρά, καὶ πρὸς τῇ ἀπὸ προσώπου. Δοτικῇ δὲ στάσιν, καὶ τὸ ἐγγύς, παρ' ἐμοὶ διατρίβει. Αἰτιατικῇ δὲ κίνησιν ἐπί τι, παρά σε ἔρχομαι. ἢ τὸ διά τι, παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω σκοποῦ, καὶ ἐπαγγελίας, οἷον παρὰ γνώμην συμβαίνει.

Παρά.

Παρὰ itidem cum genitiuo, quando à perſona inſinuat motum, ut à Deo bona. ſiquidem ἀπὸ, & ἐξ ſunt exiſtenti à loco motui maxime peculiares. παρὰ uero, & πρὸς motui à perſona. Cum datiuo autem, cum ſtatum, aut prope, apud me moratur. Sed cum accuſatiuo, quando motum ad aliquid, ad te uenio. aut propter quid, propter iniuriam ſupplicium. aut præter conſyderationem, & promiſſum, ut præter opinionem accidit.

Ἀντί.

Ἡ ἀντὶ ἀεὶ γενικῇ, ἀντὶ πολλῶν, ἀνθ' ἑνός.

Ἀντί.

Ἀντὶ ſemper cum genitiuo, pro multis, pro uno.

Ἐπί.

Ἡ δ' ἐπὶ γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ. γενικῇ μὲν χρόνον δηλοῦσα, ἐπὶ ἄρχοντος Ἀθήνησι Πυθοδώρου. ἢ τὸ περί τι, καὶ ἔν τινι, ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω, τὰ τετράποδα ἐπὶ γῆς. Δοτικῇ δὲ αἰτιολογοῦσα τὸ ἕνεκα, οἷον ἐπὶ ἀγαθῷ πάντα ἐποίει. ἢ δύναμιν, καὶ αὐτεξουσιότητα δηλοῦσα, ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τε, καὶ δευτερόχειρον, ἐπὶ τούτοις πολλὰ ἕτερα διεξῄει. ἢ τὸ ἐπάνω, ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾶς. Αἰτιατικῇ δὲ κίνησίν τινα λέγουσα, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο. καὶ γενικῇ δὲ ταυτὸ τοῦτο ἔσθ' ὅτε δηλοῖ, ἐπὶ οἴκου, καὶ ἐπὶ τῆς χώρας. ὀρθῶς μέν, καὶ Ἀττικῶς, οὐ κατὰ πολλὴν γέ τινα χρῆσιν.

Ἐπί.

Cæterum ἐπὶ & genitiuo iungitur, & datiuo, & accuſatiuo. Genitiuo quidem tempus ſignificat, Imperante Athenis Pythodoro. uel circa aliquid, aut in aliquo. in multis diſceret quis, quę dicuntur. item cum ſuper, quadrupedes

ſuper terram. Cum datiuo, cum cauſam reddit, cuius gratia fiat, propter bonum omnia faciebat. aut poteſtatem, arbitriumq́ue notans, in arbitrio Regis res ſubditorum. aut ubi poſt, ac ſecũdo, poſthæc multa alia narrabat. item cum ſuper, ſuper fundamẽto murus ſtetit ualido. Inſuper cum accuſatiuo, motum aliquem innuens, in Atticam ibat. Cęterum cum genitiuo hoc idem interdũ ſignat, in domum, & in regionem. recte quidem & Attice, uerum non admodum uſitate.

Περί.

Η δὲ περὶ γενικῇ μὲν αἰτιολογοῦσα, περὶ προθέσεως γράφω, τὸ δὲ περί του δεδοικέναι μοναδικόν. αἰτιατικῇ δὲ τὸ κύκλῳ σημαίνουσα καὶ περιποιητικόν, ἢ συστατικόν. οἷον περὶ τὴν πόλιν τὸ στράτευμα, τὸ δ' ἐρωήσει περὶ δουρί, καὶ περὶ πύργῳ ποιητικά.

Περί.

Περί autẽ cum genitiuo, ubi cauſam exprimit, ut de præpoſitione ſcribo. illud uero de aliquo metuiſſe, priuati iuris eſt. cum accuſatiuo circũ notat, aut quando cõprehenſiuum, & congregatiuũ eſt, ut circum Vrbẽ exercitus. uerum illud fluet in haſta, & circa turrim Poëtica ſunt. *Iliad. α.*

Ἀμφί.

Η δὲ ἀμφὶ ὁμοιόσημός τε ἐστί, καὶ ὁμοιοσύντακτος τῇ περί, συνηθεστέρα μέν τοι γε ἡ περί.

Ἀμφί.

Ἀμφὶ uero ut eiuſdem notæ eſt, ſic eiuſdem conſtructionis cum περὶ, uſitatior tamen hæc præpoſitio περί.

Ἀπό.

Η δὲ ἀπὸ ἀεὶ γενικῇ, ἀπὸ δικαίου, ἀφ' ἑτέρου.

Ἀπό.

A, ſiue ab ſemper cum genitiuo. à iuſto, ab alio.

Ὑπό.

Η δὲ ὑπὸ γενικῇ αἰτιολογοῦσα τὸ ποιητικόν, οὐ δὲ ὑπὸ πενίας εὐεργετοῦ. καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα, ὑφ' ἱματος κρύπτοντα χεῖρα. ὁ δὴ καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντασσομένη.

τασσομένη δηλοῖ, ὑπὸ δένδρον, καὶ ὑπὸ δένδρῳ.

Ὑπό.

Ὑπὸ autem cum genitiuo cauſam ſignificans efficientem, neque ob paupertatem benefacio. præterea cum ſubtus ſignificat, ſub ueſte occultantem manum. quod ſanè & cum datiuo, & accuſatiuo conſtructa ſignificat. ſub arborem, & ſub arbore.

Ὑπέρ.

Ἡ δὲ ὑπὲρ γενικῇ μὲν ἐπὶ βοηθείας, οἷον ὑπὲρ Κτησιφῶντος ὁ λόγος. καὶ αἰτιολογίας ὁμοίως τῇ περί, ὑπὲρ ὧν εἶπον, πάλιν ἐρῶ. καὶ ὅταν τὸ ἐπάνω δηλοῖ, ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. Αἰτιατικῇ δὲ τὸ πλέον τι, καὶ ἐπέκεινα, καὶ ὅλως ὑπερκείμενον ἀποφέρεται. οἷον ὑπὲρ ἄνθρωπόν τι, τί ἐστιν ὁ Θεὸς εἰδέναι.

Ὑπέρ.

Super cum genitiuo auxilij quidem eſt, ut pro Cteſiphonte oratio. & cauſæ expreſſiua ſimiliter ut de, de quibus dixi, rurſus dicam. item quando ſupra ſignificat, ſupra fumum ponit clauum. Cum accuſatiuo uero quādo plus, & ultra, & omnino exceſſum, conſtruitur. ut ſupra hominem eſt, quid ſit Deus cognoſcere.

Σύνθεσις.

Συντεθεῖσαι δὲ τοῖς ῥήμασιν αἱ προθέσεις τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν ἀπαιτοῦσι τὴν αὐτῶν πτῶσιν, ὡς ἁπλῶς εἰπεῖν ἅπασαι. κατηγορῶ σου, ἀφίστημί σου, ὑπερέχω σου, παραινῶ σοι. ὅτι μὴ ἐπὶ τῶν κτητικῶν, καὶ περιποιητικῶν. ἐμφοροῦμαι, ἐντρυφῶ, καὶ παραπολαύω σου, καὶ περιτίθημί σοι. ἡ γε μὴν κατὰ συντεθεῖσα καὶ ἐπὶ τἀναντία ὁμοιοπτώτως, κατεσθίει πάντα, κατεῖπέ μοι. καὶ ταῦτα μὲν δή, καὶ ἔτι ὡς σύνθετον οὕτω προφέροιτο ἕτερον, μὴ δὲ τοῦ προθετικοῦ ἰδιώματος ἀπολείπεσθαι οὐδὲν ἂν κωλύοι. κατειπεῖν οὖν ἑτέρου, καὶ κατεσθίειν, καὶ καθορᾶν. καλείσθω δὲ τὸ μὲν προθετικόν, τὸ δὲ ῥηματικόν.

Compoſitio.

Compoſitæ autē cum uerbis præpoſitiones propriam *Præpoſitionū cōpoſitarum conſtructio.*

retinentes ſignificationem exigunt ſuum caſum, ut ſic dicam omnes accuſo te, deficio abs te, ſupero te, moneo te. id quod in poſſeſſiuis, & acquiſitiuis non fit. ſatior, delitior, & fruor te, & impono tibi. Hæc tamen præpoſitio κατὰ & in compoſitione etiam intendit, manente eodem caſu. deuorat omnia, dixit mihi. hęc tamen & ſi ut quid compoſitum ita proferatur, quo minus à præpoſitiua proprietate deficiat, nihil impedierit. contradicere igitur alteri dicimus, & deuorare, & intueri. uocetur autē illud quidem præpoſitiuum, hoc uero uerbale.

Ἀντιστροφή.

Ἀναστρέφονται δὲ αἱ μὲν μονοσύλλαβοι ἐπὶ τέλει που τῶν ἐπῶν, ὡς ἐπὶ τῶν Ὁμηρικῶν ἐκείνων. οὐ μὲν γὰρ κακὸς εἴδεται, οὐδὲ κακῶν ἐξ. ἐν ἦλθεν ἀργυρότοξος Ἀρτέμιδι ξύν. Τῶν δὲ δισυλλάβων ἔν τε τοῖς πεζοῖς, καὶ ἐν τοῖς ἐμμέτροις, πλὴν τῆς διὰ, καὶ ἀνὰ, ἵνα μὴ συνεμπέσῃ ἡ μὲν τῇ Δία αἰτιατικῇ, ἡ δὲ τῇ Ἄνα κλητικῇ. ὦ Ἄνα Λητοῦς υἱὲ, ὀρθοτονεῖσθαι. γὰρ ἐπὶ τῆς παραληγούσης ὀρθείας τάσεως ἀνάγκη. αἱ δὲ τρίχρονοι οὔ, οἷον ἤ τε ἀντὶ, καὶ ἀμφί. ὅθεν οὐδὲ αἱ διὰ τὸ ι πλεονάζουσαι, οἷον καταὶ, παραὶ, ὑπεὶρ, ἅτε δὴ γενόμεναι τρίχρονοι, ἡ δὲ ἐν προσλαβοῦσα τὸ ι, καὶ γινομένη ἐνί, καὶ δισυλλαβοῦσα, καὶ διχρονήσασα ἀναστρέφεται. οἷον ἡμετέρῳ ἐνὶ οἴκῳ, καὶ ὦ ἐνὶ κούρῃ κοιμᾶται. Ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι διχρονοῦσαι ὅμως οὐκ ἀναστρέφονται. οἷον Ἰθάκην κάτα κοιρανέουσι. καὶ εὗρε δὲ Πατρόκλῳ περικείμενον. Εἰ δὲ μεταξὺ δυοῖν ὀνομάτων ἡ πρόθεσις τοῦ μὲν κυρίου, τοῦ δὲ προσηγορικοῦ, ἢ ἐπιθετικοῦ ἀναστρέφειν δεῖ, ἵνα τοῦ ὅλου προηγήσηται λόγου. οἷον, ποταμοῦ ἄπο Σελλήεντος, καὶ Ξάνθῳ ἔπι δινήεντι. Ὡσαύτως δὲ κἂν μεταξὺ κυρίων δυοῖν, ἢ προσηγορικῶν κέηται, συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερομένου. οἷον, νηῶν ἄπο, καὶ κλισιάων. Ἀγαμέμνονος πέρι, καὶ Ἀχιλλέως. Κἂν μεταξὺ μὲν ἐμπίπτῃ, καὶ μηδὲν ἕτερον μέρος λόγου μεσοσυλλαβῇ, ὑποτέτακται δὲ οὔπερ ἐχρῆν προηγεῖσθαι; ἀναστρέφεται ἔτι. οἷον ὦ ἔπι πολλ' ἐμόγησα; Ἰθάκῃ ἐνὶ οἰκία ναίων, θεῶν ἄπο μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ προθέσεως, καὶ τοῦ ῥήματος,

τοῦ, ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις μέρος λόγου ἕτερον προσεμπίπτει, οὐκ ἀναστρέφεται. τῷ δ' ἐπὶ Τυδείδης ὦρτο. Εἰ μὲν δὴ εἴη ἐπὶ τέλει τοῦ ἔπους, καὶ ἁπλῶς εἰπεῖν ἐν στιγμῇ νοήματος, ἀναστρέφεται. καὶ μεσοσυλλαβοῦντός του, πάντων δ' ἔπηυσε πολὺ κάτα. Καὶ αἱ παθοῦσαι δὲ ἔκθλιψιν τοῦ φωνήεντος οὐκ ἀναστρέφονται, εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις, ἢ τὸ σημαινόμενον διαφθείροιτο μὴ ἀναστρεφομένης ὡς ἐπὶ τοῦ, σεῦ το γὰρ Ἡφαίστοιο πάρ' οἱ στέμεν ὅπλα. Ποιηταὶ οὖν μετὰ τὰς προθέσεις ἐνίοτε στίζουσι, λογογράφοι δ' οὔ, ὅτι μὴ ἐπὶ τῆς πρός. ταύτην γὰρ μόνον καὶ πρὸ στιγμῆς τάττουσιν, ὡς τὸ, καὶ μικρόν τι πρός. Ἔνιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων λέγεσθαι τὰ τοιαῦτά φασι, βοῦν σίτου ὠνοῦμαι, ἐνδεῖν γὰρ τὴν διά. πολὺς τὸν λόγον, ἐνδεῖν τὴν κατά. ἡδὺ τῶν φυτῶν ἀναπνεῖ, καὶ δρέπομαι τῶν ἀνθέων, καὶ πίνω τοῦ ὕδατος, καὶ κρεμῶ σε τοῦ ποδός, ἐνδεῖν τὴν ἀπό.

Antiſtrophe.

Inuertuntur autem monoſyllabę quidem in fine carmi- *Odyſ.δ.*
num, ut in Homericis illis. non tamen malus cognoſci- *Iliad.υ.*
tur, neque ex malis. & uenit Apollo argenteum arcum habens cum Diana. Diſyllabæ autem & in oratione ſoluta, & in carmine. præter per, & per, ne coincidant altera quidem cum hoc accuſatiuo Iouem, altera uero cum hoc uocati-
uo Rex. o Rex Latonæ fili, tonum ſiquidem habeat penul- *Ex Theo-*
tima recta intenſione, neceſſe eſt. Cęterũ tritemporeę non, *gnide.*
ut *ἀντί*, & *ἀμφί*: ut neque in quibus *ι* redundat, ut *καταί*, *ι quibus præ-*
παραί, ſuper, tanquam factæ tritemporeæ. Porrò ἐν quãdo *poſitionibus*
aſſumit *ι*, & fit *ἐνί*, etiam ſi facta ſit diſyllaba, aut bitempo- *adijciuntur.*
rea, inuertitur. ut ædibus in noſtris, & quo in loco puella cubat. Interdum etiam & diſyllabæ quamuis bitemporeæ, non inuertuntur. ut Ithacæ regnant, & offendit autẽ iuxta
Patroclum iacentem. Quod ſi inter duo nomina ſit prępo- *Homericum.*
ſitio alterum proprium, alterum appellatiuum, uel adiecti- *Odyſ.σ.*
uum, hanc inuerti neceſſe eſt, ut toti pręponatur orationi. *Odyſ.α.*
ut fluuio à Selleente, & Xantho in uorticoſo. Ad hunc aũt *Iliad.τ.*
modum fit, ſi inter propria duo, uel appellatiua cadat, con- *Ex catalogo Homeri.*

iunctione prępoſitionem ſequente.ut nauibus ab,atq; ten
Homericum. torijs.Agamemnone de,atque Achille.Et ſi media incide-
rit,nullaq; alia orationis pars interueniat,modo ſupponatur
tur dictioni,quam debebat præcedere,inuertitur. ut quo
in loco multum laboraui,Ithaca in domū habitans, à Dijs
conſilia ſciens. Si uero inter præpoſitionem,& uerbū,uel
nomen ad quod pertinet prępoſitio, pars orationis alia in-
Iliad.r. tercedat,nō reflectitur,huncaūt Tydides inuaſit.Si tamen
ſit in fine, & ut ſimpliciter dicam in puncto ſentētiæ,inuer
titur,etiam ſi quicquam interueniat,omneis aūt excreauit
Iliad.r. multum contra. Quæ uero patiuntur eliſionem uocalis,
non reflectuntur, niſi punctum ſubſequatur aliquod, aut
ſignificatum corrumpatur non conuerſę,ut in hoc ſtatue-
bat enim à Vulcano afferre arma.Poëtæ igitur poſt præpo-
ſitionem quādoq; punctum faciunt, Oratores uero non,
præterquam in ad.hanc enim præpoſitionē ſolā ante pun-
ctum locant, ut hoc & ad paruū quippiam. Nonnulli uero
& per defectum prępoſitionis dici has orationes aiunt,bo
uem tritico emo, nempe ut deſit per. ſæpe itidem in ora-
tione deficere *κατὰ*,ut ſuaue plantis ſpirat,& decerpo flo-
res,bibo aquam,& ſuſpendo te pede,ut deſit à.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΟΣ.

Τὸ δ' ἐπίρρημα πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν, ἀεὶ γὰρ ῥήματι προηγεῖται, ἢ ἐφέπεται ταῖς λεγομέναις ἐνεργείαις ὑπολεγόμενον, ὅθεν καὶ τὴν προσηγορίαν ἀπηνέγκατο, ἐπὶ τὸν λόγον. ἔστι καὶ γὰρ μέρος λόγου ἄπτωτον κατὰ ῥήματος λεγόμενον, ἢ ὑπολεγόμενον ῥήματι, καὶ οἷον ἐπίθετον ῥήματος. Καθάπερ οὖν τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυρίων κατηγορεῖται, καὶ προσηγορικῶν, οὕτω δὴ καὶ τὰ ἐπιρρήματα. κἂν γάρ τοι μεταξὺ τοῦ ῥήματος, ἐπὶ ἐπιρρήματος τύχῃ παρεμπεσόντα πλείονα ἄλλα, ὅμως μέντοι αὐτὸ τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα ἀναφερόμενον λέγεται. Καὶ μὴν δὴ πλείω πολλάκις συμπλέκοντες ἐπιρρήματα ἑνὶ τῷ ῥήματι ἀποδιδόμεν ἱκανῶς, οἷον καλῶς, καὶ εὐσεβῶς, καὶ δεόντως πεποίηκας, κοινὸν ἢ τὸ βιῶτο. Ἔχει μὲν οὖν τὰ ἐπιρ-

ῥήματα

ῥήματα τὴν σύνταξιν πρὸς τὸ ῥῆμα, πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος καὶ τῶν σχετλιαστικῶν, καὶ θαυμαστικῶν, καὶ τῶν θετικῶν. τὸ μὲν γάρ τοι πρὸς κλητικήν, ὦ φίλε Πῶλε. τὰ δὲ πρὸς γενικήν, φεῦ τῶν κακῶν, ὢ τοῦ μεγέθους. τὰ δὲ πρὸς δοτικήν, ἢ αἰτιατικήν. γραπτέον ἡμῖν, γραπτέον ἡμᾶς. Ἔστι δὲ χρῆσθαι σχετλιαστικοῖς τε, καὶ θετικοῖς, καὶ ἄνευ τινὸς ἐπεκφορᾶς πτωτικῆς. τὰ μὲν οὖν πτωτικῶς συντάσσεται, φεῦ τοῦ μεγέθους. τὰ δὲ ῥηματικῶς, εὖ ἔχει. τὰ δὲ συναμφοτέρως, πόρρω ἡμῶν οἰκεῖ. Καὶ τὰ μὲν συναμφοτέρως, καὶ ῥηματικῶς, οἷον πόρρω οἰκεῖ. τὰ δὲ ῥηματικῶς, ἢ πτωτικῶς, οὐκ ἐξ ἀνάγκης, ἀλλὰ καὶ συναμφοτέρως.

ADVERBIVM.

CAeterum aduerbium cum uerbis habet cōſtructionem, ſemper enim uerbum aut præcedit, aut ſequitur, his quæ uocantur actiones additum. unde & appellationem accepit, & definitionem. eſt enim pars orationis ſine caſu, uel de uerbo dicta, uel addicta uerbo tanquam adiectiuum uerbi. Vt igitur nomina adiectiua tam de proprijs prædicantur, quàm de appellatiuis, ita ſanè & aduerbia. nam quãuis inter uerbum, & aduerbium contingat incidere multa, nihilominus tamen ipſum ad uerbum referri dicitur. Quinetiam plura ſæpe connectentes aduerbia, uni uerbo reddimus non inepte. ut bene, & pie, & neceſſario feciſti, ſed id quidem cōmune eſt. Habent igitur aduerbia conſtructionem cum uerbo, excepto aduerbio uocandi, & his quæ ſunt exclamandi, & admirandi, ac poſitiua. illud enim cum uocatiuo, ut o amice Pole. hæc uero cum genitiuo, heu mala, o magnitudinem. Rurſum poſitiua cum datiuo, uel accuſatiuo. ſcribendum nobis, ſcribere oportet nos. Licet etiam uti exclamandiq;, & poſitiuis citra aliquod ſubſequens caſuale. quædam igitur cum caſu conſtruuntur, heu magnitudinē. quædã cum uerbo, bene habet. quędã cum utroq;, procul nobis habitat. Item alia utroq; modo, & uerbaliter, ut procul habitat. alia uero uerbaliter, & caſualiter, non ex neceſſitate, & utroque modo.

Aduerbij conſtructio.

Platonis in Gorgia.

Χρονικὰ, νῦν.

Τῶν δὲ χρονικῶν τὸ μὲν νῦν πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται, † νῦν πειρᾶται, νῦν αὖτ' ἔγχει πειρήσομαι, νῦν μὲν δὴ Μενέλαος νενίκηκεν σὺν Ἀθήνῃ. καὶ δηλοῦν μὲν τὸ τοῦ χρόνου ἐνεστηκὸς ἐνεστῶτι συντάσσεται μόνῳ, καὶ ἀρκτικὸν γίνεται λόγου. ἀκολουθίαν δὲ ἵνα σώζον προηγουμένου οὔτ' ἀρκτικόν ἐστι λόγου, καὶ ἀεὶ μετὰ δὲ συνδέσμου συνάπτεται. οἷον ἐγὼ μὲν ᾠόμην ταῦτ' ἐκεῖνον ἐρεῖν, νῦν δὲ οὐδὲν τούτων εἴρηκεν. ἀντιπαράκειται δὲ μετὰ τοῦ ἐνεστῶτος νῦν τὸ αὐτίκα, καὶ ἄρτι. νῦν ποιῶ, ἄρτι πεποίηκα, αὐτίκα ποιήσω.

πλὴν τοῦ ὑπερσυντελικοῦ.

Temporalia, nunc.

Ex temporalibus autem nunc omnibus temporis partibus accommodatur, † nūc tentat, nunc rurſum haſta experiar, nunc quidē Menelaus uicit Minerua auſpice. cum explicat quidem præſens tempus, cum præſenti conſtruitur ſolo, initiumq; tenet orationis. cum uero conſequentiam aliquā ſeruat præcedentis, neque in initio eſt orationis, & ſemper cum autem connectitur. ut ego quidem putabam hæc dicturum, nunc autem nihil horum dixit. opponitur autem nunc cum præſens ſignificat, ſtatim, & nuper, nunc facio, nuper feci, ſtatim faciam.

præterquàm plusquamperfecto.
Exemplū primū ex Iliad. β.
Secundum ex δ Iliados.
Tertiū è tertio Iliad.
Demoſthenes περὶ παραπρεσβείας.

Χθές.

Ὁμοίως δ' ἔχει καὶ τὸ χθὲς, καὶ αὔριον πρὸς τὸ σήμερον. εἰρήσθω δέ τι καὶ αὔριον ἔρχομαι, εἰ πρὸς θυμοῦ τὸ μέλλον γίνεσθαι ἤδη πλέον πιστοῦσθαι.

Heri.

Eodem modo ſe habet & heri, & cras ad hodie. dicatur ergo & cras uenio, ſi cupis id, quod futurum eſt fieri magis credibile.

Ὅτε, τότε.

Κοινὸν δὲ καὶ ὅτε, καὶ τότε, πλὴν τοῦ παρακειμένου.

Quando, tunc.

Commune autem & quando, & tunc, niſi quod præteritum non admittunt.

Πρώην,

Πρῴην, πάλαι.

Τὸ δὲ πρῴην, καὶ πάλαι ἴδια τοῦ παρῳχημένου. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι, πρῴην ἐλήλυθεν.

Nuper, pridem.

Nuper autem, & pridem peculiaria præterito. olim aliquando erant Mileſij, nuper uenit. *Ariſtophanes Pluto.*

Ἤδη.

Τὸ δὲ ἤδη κοινὸν μέλλοντος, καὶ παρήκοντος. ἤδη βεβάδικα, ἤδη βαδίσω. λέγεταί τε ἐπὶ τῶν μὴ πολὺ ἀφεστηκότων, ὡς καὶ τὸ πρῴην.

Iam.

Cæterum iam cõuenit tam futuro, quàm præterito. iam iui, iam ibo. diciturq; de his, quæ non multum abſunt, ue lut & nuper.

Πρίν.

Καὶ τὸ πρὶν ἐν παρεληλυθότι πρὸς ὁριστικόν, πρὶν εἶπεν. οὐ μὴν ἀλλὰ καὶ σὺν ἀπαρεμφάτῳ, πρὶν εἰπεῖν. καὶ διὰ μέσου τοῦ ἤ, πρὶν ἢ εἰπεῖν. ὥσπερ διὰ τοῦ ἂν ἐπὶ μέλλοντος πράγματος, πρὶν ἂν γένηται, πρὶν γένηται.

Prius.

Item prius cum præterito indicatiui, priuſquam dixit. quinetiã cum infinitiuo, priuſquam diceret. & interceden te quàm, priuſquam diceret. quemadmodũ interueniente ἂν in re futura, priuſquam fiat, priuſquam fiat.

Ἕως.

Ὁμοίως δὲ καὶ τὸ ἕως, καὶ τὰ ἰσοδυναμοῦντα. ἕως παρατείνω, καὶ ἕως παρατεῖναι.

Donec.

Sic autem & donec, & quæ idem ſignificant. donec porrigam, & donec porrigerem.

Ὅτε.

Τὸ δὲ ὅτε διαφόρως τοῖς χρόνοις πρὸς ὁριστικόν, εἰ μὴ δυνητικόν τι ἐπινοοῖτο. εὐκτικοῦ γὰρ τὸ δυνητικόν, ὅτε βούλοιτο.

Quando.

Verum quando indifferenter cum temporibus indicatiui, niſi quicquam potentiale ſignificet. optatiui nanque eſt potentialis, quando uoluerit.

Οὐκέτι, εἰσαεί, αὖθις.

Καὶ τὸ οὐκέτι, καὶ τὸ οὐδέποτε, καὶ τὸ ἀεί. τὸ δὲ οὐδέποτε μόνον ἐπὶ παρῳχημένου, ὥσπερ τοὐναντίον τὸ εἰσαεί, καὶ αὖθις ἐπὶ μέλλοντος. εἰσαεὶ ἔσται κίνησις, αὖθις διδάξω.

Non amplius, ſemper, rurſus.

Item non amplius, & nunquam, & ſemper. uerum nunquam ſolum cum præterito, quemadmodum contra ſemper, & rurſum cum futuro. ut ſemper erit motus, rurſum docebo.

Οὔπω.

Τὸ δὲ οὔπω παρῳχημένου τε, καὶ ἐνεστῶτος. οὔπω γίνεται, οὔπω γέγονεν. Ἔστι δ᾽ ὡς ἁπλῶς εἰπεῖν καὶ πρὸς γενικὴν ἀποδιδόναι τὰ χρονικὰ κτητικῶς πως, οἷον ποτὲ τοῦ χρόνου, οὐδέποτε τῶν χρόνων, τὸ γε μὴν χωρὶς γενικῆς πολὺ ἐν τῷ λόγῳ. Ἔστι δὲ καὶ τῶν χρονικῶν τὰ μὲν ἀναφορικά, τὰ δὲ ἀπολελυμένα. ὥστε καὶ προηγεῖται ἀλλήλων, τότε, ὅτε. τηνικαῦτα, ἡνίκα. τέως, ἕως.

Nondum.

Ad hæc nondũ & cum præterito, & cum præſenti. nondum fit, nondum factum eſt. Licet autem, ut in genere dicam & genitiuo reddere aduerbia temporis quaſi poſſeſſiue. ut quando temporis, nunquam temporum, uerum abſque genitiuo frequenter in oratione. Sunt etiã ex temporalibus alia quidem relatiua, alia uero abſoluta. quamobrem & ſeſe præcedũt uiciſſim, ut tum, cum. tunc, quando. tandiu, donec.

Ἐπιτατικά.

Τὰ δὲ ἐπιτατικὰ τῆς τε ἐπιθέτοις ὀνομάτων συντάσσεται πᾶσιν ὑπερθετικῶν χρείαν ἀναπληροῦντα, οἷον λίαν σοφός, πάνυ τίμιος. καὶ ἀναφορικῶς, ὁ λίαν σοφός. Μεσοσυλ-

λαβα

λαβοῦσι τα τῶν τι τῆς μεσότητος κατηγορεῖται ἐπιρρημάτων, οἷον γράφει πάνυ καλῶς, καὶ τρέχει λίαν ταχέως. καὶ χωρὶς δὲ ἐπιλέγεται, λίαν πονεῖ, σφόδρα ἐπιθυμεῖ. Αὐτῇ δὲ τῇ μεσότητι, καὶ τῶν τούτοις ἰσοδυνάμων καθόλου μὲν τὸ ῥηματικόν. ζῇ σωφρόνως, ἀξίως γε εὐτυχεῖ. κατὰ μέρος δέ τοι ὡς ἕκαστον ἔχει παραγωγῆς, οὕτω δὴ καὶ συντάσσεταί γε τὸ πτωτικόν, τῇ γὰρ ἀρχῇ συνῳδὸν εἶναι χρεών. ἀξίως οὖν λόγου, ὅτι ἄξιος λόγου. καὶ ὁμοίως τοῖς ἄλλοις, ὅτι ὅμοιος τοῖς ἄλλοις καὶ καταφρονητικῶς τῶν εὐτελεστέρων, ὅτι καταφρονῶ τῶν εὐτελεστέρων, οἷον δὴ καὶ τὸ ἄριστα πάντων. Κοινὸν δὲ τῶν τοιούτων καὶ ἡ προσκειμένη τῷ ἔχω γενική, οὕτως ἔχω γνώμης, πονήρως ἔχω τοῦ σώματος.

Intenſiua.

Porrò aduerbia intendendi cum adiectiuis nominũ conſtruuntur omnibus ſuperlatiuorum uicem ſupplentia, ualde ſapiens, ualde honorãdus. & relatiue, ille admodum ſapiens. Cum in medio ponũtur de mediocritatis prędicantur aduerbijs, ut ſcribit ualde eleganter, & currit admodũ uelociter. ſed & ſeorſum adduntur, ualde laborat, ualde deſyderat. Et mediocritati, & æqualis potentiæ alijs generaliter natura adeſt uerbale. uiuit caſte, merito felix eſt. ſpecialiter uerò ut ſe habet cuiuſque deriuatio, ita etiam conſtruitur caſuale, quandoquidem origini reſpondere debet. digne ratione, quia dignus cuius ratio habeatur. & ſimiliter alijs, quia ſimilis alijs. & contemptibiliter abiectiorum, quia contemno abiectiora. cuiuſmodi ſanè & illud, optime omnium. Conuenit autem hís & cõſtructus cum habeo genitiuus, ſic animo affectus ſum, male affectus ſum corpore. ἔχω cum genitiuo.

Τοπικά.

Τὰ δὲ τοπικὰ γενικῇ, ἔξω τῆς χώρας, ἐνταῦθα τοῦ λόγου, πού γῆς, ἄλλῃ πῃ τῆς οἰκίας. καὶ χωρὶς, ἐνταῦθά που. σαφέστερον μέντοι, καὶ εὐχρηστότερον ἐπ' ἐνίων τὸ φράζειν προθεζπλώτως. οἴκοι ἐν Ἀττικῇ, οἴκαδε εἰς τοῦ Πολεμάρχου. πάντα

δὲ τὸ προσῆκον σῴζουσιν ἠρεμίας τε, καὶ κινήσεως ἕξει προσηκόμενον. οἷον οἴκοι εἰμί, πορεύομαι οἴκαδε.

Localia.

Localia autem cum genitiuo, extra religionē, hucuſq; ſermonis, ubi terræ, alibi domus. & ſine genitiuo, hic eſt. clarius tamen, ac uſitatius in pleriſq; loquimur adiecta præpoſitione. domi In Attica, domū ad Ptolemarchi. quæ omnia conueniens ſibi uerbum, & quietis, & motus habebūt adiunctum. ut domi ſum, uado domum.

Apud Platonē πολιτικῶν α.

Παραθετικά.

Καὶ τὰ συγκριτικὰ δὲ, καὶ ὑπερθετικὰ ὁμοίως εἰς γενικήν. μᾶλλον τῶν ἄλλων φιλοσοφεῖ, καὶ μάλιστα πάντων. Τὰ δὲ συγκριτικὰ καὶ πρὸς εὐθεῖαν, μετὰ συλλαβουμένου τοῦ ἤ, μᾶλλον ἢ ἄλλοι. Ἔτι τὰ ἀποκρυπτικὰ, κρύφα, ἢ λάθρα τῶν ἄλλων ποιεῖ. Καὶ τὰ διαιρετικὰ, χωρὶς τῶν ἄλλων. Καὶ τὰ ποσότητος, ἅπαξ, ἢ δὶς τῆς ἡμέρας, τρὶς τοῦ μηνός. τετράκις, καὶ πολλάκις τοῦ ἐνιαυτοῦ. Καὶ τὰ τακτικὰ, τὰ δύο ἐφεξῆς τοῦ ἑνὸς, καὶ ἡ δευτέρα τῆς νουμηνίας. Τὰ δ' ἀθροιστικὰ δ' ὅτι κοινῇ, ὁμοῦ, καὶ ἅμα τοῖς ἄλλοις, καὶ χωρίς. Τὰ δὲ ὀμοτικὰ αἰτιατικῇ μόνως, νὴ Δία οὐκ εἶπον, μὰ Δία οὐκ εἶπον. Τὰ δὲ ἐρωτηματικὰ ἀοριστούμενα, καὶ ἢ τοπικὰ γινόμενα, ἢ τροπικὰ ἐγκλίνεται, εἰ μὴ τρισυλλαβία κωλύῃ. οὐθὲν γὰρ ἐγκλίνεται ὑπὲρ δισύλλαβον ὄν, πόθεν ἄρχῃ; ἐλθὼν δέποθεν. πῶς ἔχει; οὕτω πως ἔχει. Ἔξεστι δὲ καὶ τὸ πότε, καὶ ποῦ ἐπ' ἐρωτήσεως τῷ ἕως, καὶ μέχρι, καὶ ἄχρι ὑποτάσσειν. οἷον ἕως πότε; ἄχρι ποῦ; μέχρι ποῦ; Τὰ δὲ βεβαιωτικὰ, ὁριστικοῖς, λέγω ὅτι ἕξει, οὕτω δὴ κρίνω. τό γε μὴν ὅτι καὶ πρὸς εὐκτικὸν, εἰ περὶ παρῳχημένου, τουτέστι διηγηματικῶς. οἷον, ἤγγελλεν, ὅτι γένοιτο, καὶ εἴη, καὶ ἔσοιτο.

Comparatiua.

Comparatiua autē, & ſuperlatiua eodem modo cum genitiuo. magis alijs philoſophatur, & maximè omniū. comparatiua uero cum nominatiuo intercedēte cōiunctione quàm, magis quàm alij. Item occultatiua, ut occulte, uel

Occultandi.

clàm

clam alijs facit. Item ſeparatiua, abſq; alijs. Et quæ ſunt quã- *Separandi.*
titatis, ſemel, aut bis in die, ter in menſe. quater, & ſæpius *Quantitatis.*
in anno. Nec non ordinalia, duo mox poſt unum, & ſecun- *Ordinalia.*
da nouilunij. Collectiua autẽ & datiuo, ſimul, & unà cum *Collectiua.*
alijs, & ſeorſum. Iurandi uero cũ accuſatiuo ſolũ, per Iouẽ *Iurandi.*
non dixi, per Iouem non dixi. Interrogatiua autem capta *Interrogatiua*
indefinite, lociq;, aut figuræ ſignificatiua inclinantur, niſi
fuerint triſyllaba. nihil enim inclinatur, quod ſit plusquã
diſyllabum. unde uenit? alicunde ueniens. quomodo ha-
bet? ſic habet. Licet autem & quando, & ubi in interroga-
tione donec, & uſque, & uſque ſubiungere. ut uſquequo?
uſquequo? uſquequo? Confirmandi autem cum indicati- *Confirmandi.*
uis, dicit quod ueniet, ſic ſanè iudicat. ὅτι tamen & cum o-
ptatiuo, ſi de præterita re, hoc eſt, narratiue dicatur. ut nun-
ciabat quod fieret, & eſſet, & erit.

Διχῶς τὸ διηγηματικόν.

Ὅθεν δῆλον ἐστὶν ὡς διχῶς τὸ διηγηματικόν, ἢ γὰρ εὐτονωτέρως ὡς τὸ ἀπαρέμφατον, λέγεται γενέσθαι τι. ἢ ὑπτιωτέρως ὡς τό, τε ὁριστικόν, ἐστὶ εὐκτικόν, ὡς εἴρηται. ὅλως δ' εἰπεῖν τὸ παρεληλυθὸς φιλευκτικόν τι ἔοικεν ὄν.

Bifariam narratiuum.

Quamobrem manifeſtum ut bifariam narratiuum ſuma
tur, uel enim intentius, ut infinitiuum, dicitur factum eſſe
aliquid. uel remiſſius, ut & indicatiuum, & optatiuũ, ut di
ctum eſt. ut ſummatim dicam, præteritum optatiuo ami-
cum quodam modo uidetur eſſe.

Ἀπαγορευτικά.

Ὁπότε ἐστὶ τὸ ἀπαγορευτικὸν ἀεὶ μὲν ἐνεστῶτος πρὸς ὑποτακτικόν, δέδοικα μὴ ᾖ. ἀεὶ δὲ παρῳχημένου πρὸς εὐκτικόν, ἐδεδοίκειν μὴ εἴη καὶ τὸ ἐπεί, ἐστὶ ἐπειδὴ χρονικὸν οὐ μόνον πρὸς ὁριστικόν, ἀλλὰ ἐστὶ πρὸς εὐκτικόν, ἐπειδὴ γένοιτο. τὰ δ' εὐκτικὰ εὐκτικῶν, καὶ ὁριστικῶν, ὡς εἴρηται. τὰ δὲ παρακελευστικὰ τοῖς δευτέροις τῶν προστακτικῶν, καὶ προστίθεται τοῖς ὑποθετικοῖς. ἄγε λέγωμεν, φέρε εἰπέ. τοῖς τρίτοις δὲ τὸ ἀπαγορευτικόν, μὴ λε-

γίνεται, μή τι ψεύδω. οἰκεῖον δ' ὡς εἴρηται καὶ ταῖς ἄλλαις ἐγκλίσεσι, μὴ γνῶς, μὴ γνοίης, μὴ γνῶναι. πλὴν τῇ ὁριστικῇ, ταύτης δὲ τὸ ἀρνητικὸν ἴδιον. οὐ λέγω, ναὶ λέγω. τὸ δὲ μὴ διὰ τὴν ἰότητα, ἀντὶ τοῦ οὐ. Ὁμοίως δὲ καὶ τὰ εἰκαστικά, ἴσως ἐρῶ. εἰ δ' εὐκτικῷ, οὐχ ἂν ἄγχωρις συνδέσμου, ἴσως φαίη ἄν. κοινὸν δὲ παρὰ τῶν ῥηματικῶν συντασσομένων ἁπάντων, οἷον εὖ ἂν ἔχοι, πόῤῥω ἂν εἴη, νὴ Δί' εἴποιμ' ἄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ τὰ παραβολικὰ δὲ ὁριστικοῖς, ὡς εἶπον, οὕτως ἔγραψα. Καὶ τὰ δεικτικὰ ῥηματικῶς, ἰδοὺ ἥκει εἰς τέλος, ἰδοὺ ὁ ἀμνός, ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. Καὶ τὰ αὐτικὰ, ἠρέμα λέγειν μόγις δύνανται. Τὸ δὲ ἀποστατικὸν ἀπαρεμφάτῳ, ὥστε λέγειν. καὶ εὐκτικῷ, ὥστε λέγοι ἄν. καὶ ἔτι ὁριστικῷ, ὥστε λέγει. Ἐπιταγματικόν τε οὐ μόνον ἐπιῤῥήματος, ἀλλὰ καὶ ὀνόματος ὁμοιωματικοῦ, ἢ παρισωτικοῦ. οἷον τοιοῦτός ἐστιν, ὥστε καὶ νοεῖν, καὶ λέγειν τὰ δέοντα. τηλικοῦτος, ὥστε ἅπαντας ὑπερβάλλειν. καὶ οὕτως, ὥστε πάντας θαυμάζειν. Τὸ δ' ἀποθετικὸν εἴσω, λόγου μακροτέρου πέρας, καίτοι ἀρχή ἐστι τῶν ἑπομένων, εἶεν τί δῆθ' ὁ παῖς ὁ τοῦ Λαερτίου.

Prohibitiua.

Quandoq; prohibendi aduerbium ad præſens nectit ſubiunctiuum, timui ne ſit. à præterito uero ad optatiuum, timui ne eſſet. & quoniam, & poſtquam aduerbium tempo-
ἐπεί. ris non ſolum cum indicatiuo, ſed cum optatiuo conſtru-
ἐπειδή. untur, poſtquã fieret. at optandi aduerbia cum optatiuo, &
Optandi. indicatiuo, ut dictum eſt Cæterũ adhortandi cum ſecũdis
Hortandi. imperatiuorũ, & item cum ſuppoſitiuis. age dicamus, age dic. cum tertijs uero aduerbiũ prohibendi, ne dicat, ne uer-
Prohibendi. berator. quod conuenit, ut dictũ eſt & alijs modis. ne noſcas, ne noueris, ne noſcere, præterquam indicatiuo. huic
Negandi. enim aduerbiũ negandi peculiare eſt, nõ dico, profecto dico. ne per meã iram, pro non dicitur. Similiter autẽ & quæ
Coniectandi. coniectandi, fortaſſe dicam. quæ ſi cum optatiuo, nunquã fiat ſine coniunctione ἄν, forſan dixerit. id quod commune eſt cum uerbo cõſtructis omnibus, ut bene habeat, pro-
cul

cul abſit, per Iouem dixerim, & ſimiliter in alijs. Quæ autē ad comparationē ſpectant, cum indicatiuo conſtruuntur. ut dicebā, ſic ſcripſi. Et quæ demonſtrāt uerbaliter, ecce uenit ad finem, ecce agnus, per defectū uerbi ſubſtantiui. Itē remiſſiua, ſenſim dicere uix poſſunt. Cęterum digreſſiuū cum infinitiuo, itaq; dicatur. & cū optatiuo, itaq; dicat. prętereа cum indicatiuo, itaq; dicit. Eſtq; intenſiuum non ſolum aduerbij, ſed & nominis ſimilitudinē, aut æquiparantiam notantis. ut talis eſt, ut cogitet, & dicat, quæ oportet. tantus ut omnes ſuperet, & ſic ut omnes admirētur. Aduerbiū aūt cōcedendi eſto, orationis longioris finis, & quodam principium erit ſequentiū, eſto aliquid filius Laërtis.

Comparationis. *Domonſtrandi.* *Remiſsiua.* *Digreſsiuum ὥστε.* *Concedendi ἄγε.*

ΠΕΡΙ ΣΥΝΔΕΣΜΟΥ.

Ὁ δὲ σύνδεσμος λέξις συνδετικὴ οὖσα τῶν ἑτέρων τοῦ λόγου μερῶν εἰς κατάλληλον σύνθεσίν τε, καὶ τάξιν τὰ ὅμοια συνάπτει ἀεί, ὄνομα γὰρ ὀνόματι, καὶ ῥῆμα ῥήματι, καὶ εὐθεῖαν εὐθείᾳ, καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει, καὶ χρόνον ὁμοίως, καὶ ἔγκλισιν, καὶ τὰ λοιπὰ δὲ ὁμοίως, σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει.

DE CONIVNCTIONE.

CAeterum cōiunctio quæ dictio copulatiua eſt aliarū orationis partiū, ad cōgruā compoſitionemq;, & ordinem ſimilia coniungit ſemper, nempe nomen nomini, & uerbū uerbo, & rectum recto, & omnino caſum caſui, tempus item ſimiliter, & modum, reliquaq́; pariter, conſtructionem autem differenter pro ſuarum uarietate ſpecierum habet.

Συμπλεκτικός.

Τῶν οὖν ὑπὲρ πολὺ ἐκφερομένην τὴν ἑρμηνείαν συμπλεκόντων, καὶ διὰ τῶν συμπλεκτικῶν καλουμένων ὁ μὲν καὶ προτάσσεται τῶν λέξεων, ὁ δέ τε ἐπιφέρεται ἐγκλινόμενος Θεοί τε, καὶ ἀνέρες. καὶ οὕτω δὴ ἀλλήλοις συντάσσονται, ὥστε τόν τε προηγεῖσθαι τοῦ καί. ἀρκτικὸς δὲ ὑπάρχων ὁ καί, δεῖ

Copulatiua.

Inter hæc igitur quę locutionem,atq; orationem connectunt,& hanc ob rem copulatiuæ nominantur,Ꝙ quidem præponitur dictionibus,τε uero ſequitur inclinata.Dijq;, & uiri.& ita inter ſe conſtruuntur,ut ſequentem τε præcedat καὶ.Cum tamen initialis eſt καὶ,oportet omnino alteram καὶ ſequi,quæ uel uerbum cõplicet uerbo, uel nomen nomini,quomodocũq; conſtruatur prior. ſi enim quis dicat, & deambulat Socrates, inferat neceſſe eſt, & diſputat, aut tale quid.ſi uero, & Socrates ſcribit,dicat, adijcietq; utique & Plato,uel alius quiſpiam.Generaliter enim quoties præcedit copulatiua, uel diſiunctiua, ſimilem exigit partem uel caſualem, uel ſine caſu. quod ſi caſualem, eundem caſum. ſin expertem caſus, eundem modum,at non neceſſario. ut & ſcribo, & intelligo. uel ſcribo, uel intelligo.& meus ſeruus,& tuus. Licet autem in eadem conſtructione coniungere articulareis rectos cum genitiuis,ut optima Homerica carmina, & Heſiodi. ſed ſi diuerſus ſit modus,idem uerbũ ſeruare neceſſe eſt.ut & ſcribo, & ſcriberem.& dicebas,& dic.quamuis eodem manente diuerſa ponantur uerba,& deambulo,& diſputo. Itaq; caſus eoſdem poſtulant & copulatiuæ, & diſiunctiuę tam præcedentes,quàm etiam in medio poſitæ,quoties ad idem referuntur uerbum. ut & ego, & tu ſcribimus. uel mihi, uel tibi parcit. ſed quidem dictionem non præcedit, niſi ſtatim in principio dictionis. δὲ uero coniunctio quæ ſubiunctiua eſt, & orationis, & dictionum ad μὲν ſequi ſolet.alij quidẽ Dij Dormiebant tota nocte,Iouem autẽ non tenebat dulcis ſomnus.Eſt autem & tranſitiua, ſiue digreſſiua tanquã per ipſam fiant & in ſententia, & in narratione digreſſiones. Porrò ἀτὰρ, & αὐτὰρ initiales ſunt, quamuis idem quod autem ſignificent. At ubi potus, & cibi deſiderium exemerunt. ſed nihil mihi hic tale. ἀλλὰ uero appoſitiua eſt,Tydeus paruus quidem erat corpore,at pugnator.itaq;

καὶ. τε. Iliad.β. μὲν. δὲ. Iliad.β. ἀτὰρ. αὐτὰρ. Iliad.α. ἀλλὰ. Iliad.δ.

ἠμὲν. & coniunctionem quidem ſequi & hęc poterit, ἠμὲν uero, & ἠδὲ ſunt inchoatiuæ. uerum ἠμὲν orationis quidem, &
ἠδὲ. dictionis, ἠδὲ uero dictionis tantum illi reſpondens. &
Homerica. quicunq; habitant Cœlum, & quicũq; ſortiti ſunt terram,
ἦτοι. quanquam Poëticæ & hæ. qualis ſanè & ἦτοι, quæ initialis
Iliad. α. orationis & ipſa eſt. nempe ille ſic fatus, conſedit.

Διαζευκτικός.

Οἱ δὲ διαζευκτικοὶ τὰ διεζευγμένα συντιθέασι, καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνῦντες τὴν φράσιν ἐπισυνδοῦσιν. νῦν ἄρκιον, ἢ ἀπολέσθαι, ἠὲ σαωθῆναι. εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεύς. ὁ γοῦν ἤτοι ἰσοδυναμῶν τῷ ἤ, προτακτικός ἐστι τοῦ ἤ. ἤτοι ἀγαθὸν, ἢ φαῦλον. ἰσοδυναμῶν δὲ τῷ μὲν ἀρκτικὸς γίνεται λόγων τοῖς ποιηταῖς, ὡς εἴρηται, ἤτοι ὅγ' ὡς εἰπών. διαζευγνύων μετά τινων ὁ ἢ ἀορίστως, οὐκ ἄνευ ἑτέρου ἢ λέγεται ἤτοι προσκειμένου, ἢ νοουμένου. ὁρισμένως δὲ, εἴτ' οὖν διασαφητικῶς, μόνως κεῖται. βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. σημαίνει γὰρ τὸ καὶ οὐκ ἀπολέσθαι. ὅθεν ἴσως καὶ ἀναιρετικὸς ἂν οἰκειότερος προσαγορεύοιτο. Μοναδικῶς δὲ συντάσσεται, καὶ ἀπορηματικὸς ὤν, ἢ λυτικός τις. ἀπορηματικὸς, τί δὲ λαὸν ἤγαγεν ἐνθάδε; ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο; Τί δή ποτε ὁ Πορνοβοσκὸς Τραπεζούντιος ἀγνοεῖ τὸ τοῦ ἢ σημαινόμενον; ἢ ὅτι οὐδεπώποτε ἔμαθεν; Τὸ δὲ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός, καὶ τὰ ὅμοια ἐπιρρηματικὴν σύνταξιν ἔχει τῶν βεβαιωτικῶν. οἷον δὴ καὶ τὸ, ἦ θέμις, τῶν ὁμοιωματικῶν.

Diſiunctiua.

Conſtructio & ſignificata τοῦ ἤ. Diſiunctiuæ uero ſunt, quæ diſiuncta componunt, & uel rem à re, uel perſonam à perſona ſeiungentes orationem copulant. nunc tempeſtiuum aut perire, aut ſeruari.
Iliad. β. unus autem quiſpiam uir imperator eſto, Vel Aiax, uel Idomeneus, uel Diuus Vlyſſes. Itaque ἤτοι ſi idem ualet
ἤτοι. *Iliad. α.* quod uel, præcedit ſiue. ſiue bonum, ſiue malum. cum uero idem quod quidem, initialis eſt orationum apud Poëtas,

tas,ut dictum eſt,nempe ille ſic fatus. itaq; cum diſiungit,
non ſine altero ἢ profertur, ſiue appoſito, ſiue intellecto.
definite autem,ſeu declaratiue ſola iacet. Malo ego popu- *Verba Aga-*
lum ſaluum eſſe,quàm perire. ſignificat enim & non peri- *memnonis.*
re,unde fortaſſe & ſublatiua magis proprie uocari poterit. *Iliad.α.*
Suo autem iure conſtruitur,& cum dubitatiua eſt,aut ſolu *Iliad.ι.*
tiua cum dubitatione. quid autem populum Duxit huc?
an non propter Helenam comptam? cur itaq; * Porno- *leno.*
boſcus Trapezuntius ignorat quid ἢ ſignificet? an quòd
nunquã didicit? illud autem,Nempe admodum iam mor-
tuus Menœtij fortis filius, & alia id genus aduerbiorum *Iliad.18.*
conſtructionem habent adfirmandi .ut ſanè & illud, quate
nus fas,ſimilitudinum.

Συναπτικός.

Οἱ δὲ συναπτικοὶ τουτέστιν οἱ ὕπαρξιν μὲν οὔ, ἀκολουθίαν δέ τινα, καὶ τάξιν δηλοῦντες συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας. συντάσσονται δὲ κατά τε ὀρθὸν, καὶ ἀντεστραμμένον. ἢ γὰρ προηγοῦνται, ἢ ἐπάγονται, καὶ προηγουμένοις μὲν τὸ ὀρθόν. Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ. ἐπιφερομένοις δὲ τὸ ἀντεστραμμένον, Ἦ κεν γηθήσαι Πρίαμος, Πριάμοιό τε παῖδες, Ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ Εἰ σφῶιν τάδε πάντα πυθοίατο μαρναμένοιιν. Καὶ πρὸς ὑποτακτικὸν μὲν οὖν τὸ μὲν εἰ συντακτέον ἄλλως τε, καὶ εἰ σὺν τῷ ἂν λαμβάνοιτο, καὶ ὅλως μεθ' ἑτέρων συνδέσμων. καὶ πρὸς εὐκτικὸν, καὶ πρὸς ὁριστικὸν, ὡς ἔτυχεν ὁμολογίας, ἢ ἀμφιλογίας ἢ ἀκολούθησις. ἔοικε γὰρ ἔνθα μὲν ὁμολογουμένων τὸ ὁριστικόν τε, καὶ ὑποτακτικὸν βούλεσθαι, ἔνθα δὲ ἐνδιαζομένων τὸ εὐκτικόν. ὅθεν δὴ καὶ τὸ δυνητικὸν ἂν ἐπὶ τὸ τοιοῦτο οἰκειοτέρως ἂν ἀποδοίημεν, οἷον εἰ ἡδονὴ τἀγαθὸν εἴη, ταύτῃ ἂν ὁρίζοιτο ἡ εὐδαιμονία. ἀλλ' οὐκ ἀεὶ οὕτως ἡ χρῆσις. ἐπὶ παρῳχημένου γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί. εἰ ἦν, εἰ καὶ ἦν.

Continuatiua.

Porrò cõtinuatiuæ hoc eſt, quę præcedentiã quidẽ non, ſed conſequentiam aliquam, & ordinem monſtrant, copulant quidem imperfectos ſenſus: conſtruuntur uero tam *Iliad. α.* rectè, quàm inuerſe. præcedunt enim, aut ſequũtur, & cum *Verba Calchantis.* præcedunt quidem rectè. quod ſi iram ipſo die concoxerit, In poſterum tamen durat, tenetq; odium, donec ulci- *Ibidem uerba Neſtoris.* ſcatur. Cum autem ſequuntur, præpoſtere. Certe gaudebit Priamus, Priamiq; filij, Cæteriq; Troiani gaudebunt multum animo, Si de uobis hæc audierint pugnantibus. Cum ſubiunctiuo itaq; εἰ coniunctio ordinanda eſt, præſertim ſi cum & capiatur, & generaliter ſi cum alijs coniunctionibus. item cum optatiuo, & indicatiuo, prout inciderit certitudinis, aut ambiguitatis conſequentia. uidetur enim, quando certitudinis nota eſt, aut indicatiuum, aut ſubiunctiuum uelle. quando uero ambiguitatis, optatiuum. unde ſanè & potentialem ἂν ad idipſum magis propriè reddiderimus, ut ſi uoluptas ipſum bonum eſſet, hoc pacto definiri poſſet felicitas. at non ſemper ſic uſus, ſiquidem de re præterita indicatiuus ſemper dicitur. ſi erat, & ſi erat.

Παρασυναπτικός.

Παραπλησίως δὲ δὴ καὶ οἱ παρασυναπτικοὶ συντάσσονται, πλὴν ὅτι καὶ ὕπαρξιν μετὰ τάξεως σημαίνουσιν οὗτοί γε.

Subcontinuatiua.

Eodem autem modo & ſubcontinuatiuæ ordinantur, præterquàm quod præcedentiam cum ordine ſignificant & hæ quoq;.

Αἰτιολογικός.

Οἱ δ' αἰτιολογικοί, προτακτικοί τέ εἰσι τῶν λέξεων, πλὴν τοῦ γάρ. καὶ κατ' ὀρθόν, καὶ ἀντεστραμμένον συντάσσονται. καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων ποιοῦσιν ἔνιοι τούτων, ἐὰν μάθω, ἵνα διδάξω. καὶ ἐπιρρηματικῶς, ἐπειδὰν διδάξω, ἢ ὅταν διδάξω. ὁ γε μὴν ἵνα, καὶ τὰ ἰσοδυναμοῦντα, καὶ πρὸς εὐχὴ-

εὐκτικὸν ἔτι συντάσσονται, εἰ περὶ παρῳχημένου ὁ λόγος. οἷον ἀφίκετο, ἵνα θεῷτο. καὶ πρὸς ὁριστικὸν παρατατικόν, ὅταν τι περὶ παρῳχημένου ἀξιοῦμεν ὑπάρχειν, ἢ μή. οἷον ἐχρῆν αὐτὸν λαβεῖν συγγραφήν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους. Τὸ γε μὴν ὅπως ἀντὶ τοῦ πῶς παραγγελματικῶς πρὸς ὁριστικὸν μέλλοντα, σκοπεῖται δὲ τοῦτο, ὅπως μὴ λόγους ἐροῦσιν. ἄλλως δὲ παντὶ ἐφαρμόττει χρόνῳ. Πρὸς ὁριστικὸν δὲ ὁ ὅτι, καὶ τὰ ἰσοδυναμοῦντα. ὅτι οὐδεὶς μισθός, οὐδὲ τέχνη. Τὸ δ' ἐφ' ᾧ πρός τε ὁριστικόν, καὶ πρὸς ἀπαρέμφατον. ἐφ' ᾧ ἔγραψεν, ἐφ' ᾧ κομιοῦνται, ἐφ' ᾧ μεμνῆσθαι. Τὸ δὲ ἕνεκα, γενικῆς. τὸ δή, Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα, Ἰωνικόν. Ὁ δὲ γὰρ παντὶ μέρει λόγου ὑποτάσσεται, καὶ ἀρχικὸς οὐδαμοῦ ἐστίν. ἢ γάρ, οὐδὲ γάρ, οὐδὲ Δρύαντος υἱός.

Cauſalis.

Cæterum cauſales & præponuntur dictionibus, præter γάρ. & recte, & inuerſe conſtruuntur. Et ſubiunctiua uerborum conſtituunt nonnullæ harum, ſi diſcam, ut doceam. Et aduerbialiter, poſtquam docuero, uel quando docuero. Ἵνα tamen, & quæ idem ualent, etiam cum optatiuo conſtruuntur, ſi de re præterita fiat ſermo. ut uenit, ut ſpectaret. & cum imperfecto indicatiui, ubi aliquid de re præterita uolumus ſubeſſe, aut non. ut oportebat eum accipere ſyngrapham, ut poſſet iure exigere. Verum ὅπως pro quomodo hortatiue cum futuro indicatiui, ſpectatur autem hoc, ne uerba quidem faciant. alioqui omni etiam congruit tempori. Cæterum cum indicatiuo ὅτι conſtruitur, quando nulla merces, neque ars. Ἐφ' ᾧ item cum indicatiuo, & infinitiuo. quare ſcripſit, eo ut accipiat, eo ut meminerit. Item ἕνεκα cum genitiuo, Nam propterea quod Chryſen contempſit ſacerdotem, Ionicũ eſt. Porrò γὰρ cuiuis parti orationis ſubiũgitur, & initialis nunquã eſt. nempe enim, neq; enim, neq; Dryantis filius.

[Margin: γάρ. — ἵνα. — ὅπως. — ὅτι. Ariſtophanes Pluto. — ἐφ' ᾧ. — ἕνεκα. — Iliad. α. — γάρ. — Iliad. ι.]

Ἐναντιωματικοί.

Οἱ δὲ λεγόμενοι ἐναντιωματικοὶ καὶ προτάσσονται τῶν λέ-

ξεων, καὶ ὑποτάσσονται. λόγῳ μέντοι προτάσσεσθαι οὐδαμοῦ πεφύκασιν, ἔκαμον παραινῶν, ἀλλ' ὅμως παραινέσομαι ἔτι. καίτοι σπεύδων ὅμως οὐκ ἔχον καταλαβεῖν.

Aduerſatiuæ.

Quæ uero dicuntur aduerſatiuæ, & præponuntur dictionibus, & poſtponuntur. orationi tamen præponi nullo naturali modo poſſunt, feſſus ſum admonendo, uerū admonebo adhuc, quanquam feſtinans tamen non potui aſſequi.

Συλλογιστικοί.

Τῶν δὲ συλλογιστικῶν οἷον ταῖς ἐπιφοραῖς τε, καὶ συμπεράσμασι προσωκειωμένων ὁ ἀλλά, ἢ ἀλλαμὴν προτακτικός ἐστι λέξεως μόνως. οἱ δ' ἄλλοι πάντες καὶ προτάσσεσθαι, καὶ ὑποτάσσεσθαι δύνανται. πᾶς ἄνθρωπος ζῶον, ἀλλαμὴν πᾶν ζῶον οὐσία, πᾶς ἄρα ἄνθρωπος οὐσία.

Rationatiuæ.

Inter rationatiuas ut quæ illationibus, & concluſioni-
ἀλλά. bus accommodantur, ἀλλά, & ἀλλαμὴν præponuntur di-
ἀλλαμὴν. ctioni tantum. cæteræ uero omnes præponi, & poſtponi poſſunt. omnis homo animal, atqui omne animal ſubſtantia, omnis igitur homo ſubſtantia.

Ἀπορηματικοί.

Οἱ δὲ ἀπορηματικοὶ ἐπ' ἀποροῦντι, καὶ ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν. ἆρ' οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων, εἰ μή τι γε καθ' ὑπερβατόν.

Dubitatiuæ.

Dubitatiuę autem dubitanti, & interroganti uſu ueniūt.
ἄρα. nunquid igitur bonum uoluptas? præcedūt autem dictio-
ἆρα. nes, niſi quid per hyperbaton accidat.

Παραπληρωματικοί.

Οἱ δὲ παραπληρωματικοὶ τὸ μὲν ὄνομα ἔχον ἀπὸ τοῦ τὴν φράσιν παραπληροῦν ἢ μέτρου, ἢ κόσμου χάριν. ἔχουσι δὲ πολλάκις καὶ σημασίαν διάφορον, οἷον ὁ γε μειωτικός. ὁ δὴ περι-
καὶ βεβαιωτικός. *γραφικός, καὶ μεταβατικός.* ὁ ἂν δυνητικός, καὶ ἀοριστικός.*

Πάντες

γαὐτῶν γεμὴν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται, οἷον ἄλλοι μὲν ῥὰ θεοί. ὁ δὲ ἂν καὶ ὑποτάσσεται ἀοριστολογικὸς ὤν, ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δὲ κατὰ μὲν ἐνεστῶτα, καὶ μέλλοντα πρὸς εὐκτικόν. οὐκ ἂν λέγοις, οὐκ ἂν φαίης, οὐκ ἂν λέξοις. εἴτε προτάσσοιτο, εἴτε ὑποτάσσοιτο. καὶ πρὸς ὁριστικόν, οὐκ ἂν δρᾷς, ἀλλὰ σπανίως τοῦτό γε. κατὰ δὲ παρῳχηκότα πρὸς ὁριστικόν, οὐκ ἂν εἶπον, ἢ ἔλεγον. ἔτι δὲ γνωριμώτερον ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος, καὶ μετὰ τὸ ῥῆμα δύναται ἂν θεωρεῖσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις πρὸς ὑποτακτικὸν μόνον. Καὶ μεταλαμβανόντων τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν, λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφοράς. λέγειν ἄν, εἰπεῖν ἄν, καὶ ἐρεῖν ἄν. καὶ πρὸς μετοχήν, εἰπόντας ἄν, καὶ ἐροῦντας. καὶ εἰπὼν ἄν, καὶ εἰπόντων. ὁμοίως νῦν δὲ καὶ ἐπὶ τῶν ἄλλων, ἥκιστα δὲ ὁ παρακείμενος τοῦ ἂν ἐπιδεκτικός. τὰ μὲν οὖν μέρη οὕτω συντάσσοντες ἂν κατ᾽ ἄλληλον ποιοῦμεν τὸν λόγον.

Expletiuæ.

Expletiuæ uerò nomen quidem inuenerūt ab eo, quod orationem complent uel carminis, uel ornatus cauſa. habent autem ſæpe & ſignificationē diuerſam, ut γε diminutiua eſt. δὴ circumſcriptiua, & tranſitiua. ἂν potentialis, & indefinita. Omnes tamen reliquis orationis partibus ſubiunguntur, ut reliqui quidem Dij. Ἂν uerò etiam ſubiungitur indefinite prolata, quæcunq; dixeris, quæcunq; dixeris. cum uerò potentialis in præſenti quidem, & in futuro cum optatiuo. ut non dicas, non dicas, uel non potes dicere. ſiue præponatur, ſiue poſtponatur. & cum indicatiuo, non potes dicere, uerum raro id. in præterito autem cum indicatiuo, nō dixiſſes, aut diceres. Item explicatius ſiquidem & ante uerbum, & poſt uerbum poterit conſyderari indifferenter cum optatiuo. quod niſi utriſq; ponatur locis, cum ſubiunctiuo ſolum. Et aſſumētes infinitiuum ad

γε. δη. Cōiunctio confirmatiua, & coniūctiua ἄν.

indicatiui congruam conſtructionẽ dicimus potentialiter ſecundũ treis temporis differẽtias .dicere, dixiſſe, dictum ire.& cum participio, dicenteis, dicturos, & dicens,& dicentium. ſimiliter uerò & in cæteris, nequaquam tamen præteritum ἂν recipit, parteis itaq; ad hunc modum conſtruentes congruam fecerimus orationem.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΠΑΓΓΕΛ λειν διαστολῆς.

Ἀπαγγέλλειν δὲ τὰ συντεταγμένα μὴ μόνον κατ᾽ ὑπόκρισίν τε, καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν, οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια εἴη συμφανεστέρα. καὶ γράφοντας οὖν στικτέον εἰς διαστολήν, καὶ φθεγγομένους διακειτέον τριχῶς. ἢ γὰρ τελείως, ἢ ἀτελῶς, ἢ μέσως. ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναποτελούμενα λέγεται τοῖς κώλοις διαστελτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον, καὶ πλείονί τινι χρόνον ἀναστηματιστέον εἰς ἀπόδοσιν τοῦ τελείου. ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει, ὑπανιέντας τι τῆς φωνῆς καὶ ἐπ᾽ ἐλάχιστον διαστηματίζοντάς γε ἀπαγγελτέον. μέσως δέ τοι τὰ κώλων τε, καὶ τοῦ ἐντελοῦς ἀπολειπτικὰ κόμματα ἀποδοτέον. οἷον ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις. Καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφορὰς τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ, τὸ δ᾽ ἀτελὲς παρεγκλίνοντας πρὸς τὸ κάτω, τὸ δὲ μέσον παρεγκλίνοντας πρὸς τὸ ἄνω.

Καὶ περὶ μὲν κλίσεως, καὶ σχηματισμοῦ, καὶ διαιρέσεως, καὶ ὀνομασίας, καὶ προσῳδίας, καὶ ὀρθογραφίας, καὶ χρόνου, συντάξεως τῶν γραμματικῶν, καὶ ὅλως περὶ Βαρβαρισμοῦ, καὶ Σολοικισμοῦ ἔστω δὴ εἰρημένον ἀποχρώντως ὡς ἐν εἰσαγωγῇ. τὸ γὰρ ἐπὶ πλέον, καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν, ἥκιστ᾽ ἂν τῆς παρούσης εἴη προθέσεως. μετὰ ταῦτα δὲ ὅπως δεῖ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τὴν δὲ ἡμῖν μέθοδον, λέγωμεν.

ΤΕΛΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ τοῦ Θεοδώρου γραμματικῆς εἰσαγωγῆς.

DE RECTE ENVNCIANda dictione.

Enunciatio autem conſtructorum non ſolum in geſtu, & accentu, uerum & in diſtinctione cōſiſtit, ita enim orationis ſententia fuerit lucidior. ſunt itaque ſcribentibus puncta ad diſtinctionem obſeruanda, & loquentibus diſtinguendum tripliciter: aut perfectè, aut imperfectè, aut modo medio. ubi enim quæ ad ſententiam ſpectant terminata abſoluuntur, membris diſtinguendus in fine ſententiæ ſermo eſt, & pluſculo tempore quieſcendum ut reddatur perfectio. ubi uerò imperfectè omnino ſe habet, intermiſſa aliquātiſper uoce, & quàm minimo interuallo proferendum. medio tamen modo tam quæ membrorū, quàm quæ totius integra commata reddere oportet. ut ego quidem doceo, tu uerò diſcis. Collocandum itaq; punctum ſcribentibus ſecundùm dictas differentias, ut perfectum quidem in medio ponamus, imperfectum uerò deflectamus ad partem imam, cæterum medium deflectamus ad ſupremam. *Triplex diſtinguendi ratio.*

Et quidem de declinatione, formatione, diuiſione, nominatione, accentu, orthographia, tempore, & cōſtructione Grammaticorum, & in ſumma de Barbariſmo, & Solœciſmo ſit iam dictum ſatis, quantum ad introductionem attinet. etenim copioſius, & accuratius de his dicere haud quaquam huius fuerit inſtituti. poſt hæc autem, quomodo oportet interrogare, iuxta propoſitum à nobis compendium dicamus. *Epilogus.*

FINIS QVARTI LIBRI THEOdori Grammaticæ introductionis.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

a b c d e f g h i k l m n o p q r s t u x y z
aa bb cc dd ee ff gg hh ii kk ll mm
nn oo pp qq rr ss tt uu xx yy zz.
omnes quaterniones, præter z z ſexternionem.

BASILEAE IN OFFICINA
Valderiana. An. 1541.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE



Digitized by Google

Digitized by Google